πονηρούς τε αὐτοὺς νομίζειν, χρῆσθαί τε τεκμηρίῳ
ὅτι εἰ τὰ δεινότατα τῶν κατηγορηθέντων περιφανῶς
ἐλέγχονται ψευδόμενοι, ἦ που τάχα πολλῷ φαυλό-
τερα ῥᾳδίως ὑμῖν ἀποδείξω ψευδομένους αὐτούς.
Αἱ μὲν μηνύσεις ὧδε περὶ τῶν μυστηρίων αὗται 25
ἐγένοντο τέτταρες· οἳ δὲ ἔφευγον καθ' ἑκάστην μή-
νυσιν, ἀνέγνων ὑμῖν τὰ ὀνόματα αὐτῶν, καὶ οἱ
μάρτυρες μεμαρτυρήκασιν. ἔτι δὲ πρὸς τούτοις ἐγὼ
πιστότητος ὑμῶν ἕνεκα, ὦ ἄνδρες, τάδε ποιήσω.
τῶν γὰρ φευγόντων ἐπὶ τοῖς μυστηρίοις οἱ μέν τινες
ἀπέθανον φεύγοντες, οἱ δ' ἥκουσι καί εἰσιν ἐνθάδε
καὶ πάρεισιν ὑπ' ἐμοῦ κεκλημένοι. ἐγὼ οὖν ἐν τῷ 26
ἐμῷ λόγῳ δίδωμι τῷ βουλομένῳ ἐμὲ ἐλέγξαι ὅτι

23. ἐμή] ὡς ἐμὴ Ald. — ἢ] ἡ ABLZ. — ἀνοσιώτερον καὶ ἀπιστότερον cum R. Bk.: ἀνοσιώτατον καὶ ἀπιστότατον. — οὐδένας cum R. Bk.: οὐδένα. — εἰπόντα dedisse vid. pr. A[d].

24. μου Dobr. Turr.: με. — τάχα scripsi (cf. 2, 2): τάγα B et corr. fort. A („lit. γ fort. corr.“ Dobs.); τἄλλα v. (τά γε Bk.; τά γ' ἄλλα Dobr. Turr.).

25. φευγόντων] num φυγόντων? cf. ad § 16. — ἐπὶ τοῖς ci. R. coll. § 35 (Bk.): ἐν τοῖς.

26. ἐλέγξαι pr. A Turr.: ἐξελέγξαι. —

*ἔφυγέ τις αὐτῶν δι' ἐμὲ ἢ ἐμήνυσα κατ' αὐτοῦ, ἢ
οὐχ ἕκαστοι ἔφυγον κατὰ τὰς μηνύσεις ταύτας ἃς
ἐγὼ ὑμῖν ἀπέδειξα. καὶ ἐάν τις ἐλέγξῃ με ὅτι ψεύ-
δομαι, χρήσασθέ μοι ὅ τι βούλεσθε. καὶ σιωπῶ, καὶ
παραχωρῶ, εἴ τις ἀναβαίνειν βούλεται.*

27 *Φέρε δή, ὦ ἄνδρες, μετὰ ταῦτα τί ἐγένετο;
ἐπειδὴ αἱ μηνύσεις ἐγένοντο, περὶ τῶν μηνύτρων,
ἦσαν γὰρ κατὰ τὸ Κλεωνύμου ψήφισμα χίλιαι
δραχμαί, κατὰ δὲ τὸ Πεισάνδρου μύριαι, περὶ δὲ
τούτων ἠμφισβήτουν οὗτοί τε οἱ μηνύσαντες καὶ
Πυθόνικος, φάσκων πρῶτος εἰσαγγεῖλαι, καὶ Ἀνδρο-*
28 *κλῆς ὑπὲρ τῆς βουλῆς. ἔδοξεν οὖν τῷ δήμῳ ἐν τῷ
τῶν θεσμοθετῶν δικαστηρίῳ τοὺς μεμυημένους, ἀκού-
σαντας τὰς μηνύσεις ἃς ἕκαστος ἐμήνυσε, διαδικάσαι.
καὶ ἐψηφίσαντο πρώτῳ μὲν Ἀνδρομάχῳ, δευτέρῳ
δὲ Τεύκρῳ, καὶ ἔλαβον Παναθηναίων τῷ ἀγῶνι
Ἀνδρόμαχος μὲν μυρίας δραχμάς, Τεῦκρος δὲ χιλίας.
Καί μοι κάλει τούτων τοὺς μάρτυρας.*

ΜΑΡΤΥΡΕΣ.

29 | *Περὶ μὲν τῶν μυστηρίων, ὦ ἄνδρες, ὧν εἵνεκα*
5 *ἡ ἔνδειξις ἐγένετο καὶ περὶ ὧν ὑμεῖς οἱ μεμυημένοι
εἰσεληλύθατε, ἀποδέδεικταί μοι ὡς οὔτε ἠσέβηκα
οὔτε μεμήνυκα περὶ οὐδενὸς οὔτε ὡμολόγηκα περὶ
αὐτῶν, οὐδὲ ἔστι μοι ἁμάρτημα περὶ τὼ θεὼ οὔτε
μεῖζον οὔτ' ἔλαττον οὐδὲ ἕν. ὅπερ ἐμοὶ περὶ πλείστου*

κατ' αὐτοῦ] *κατά του* Sl. — post hanc § addendum dicit S. *ΔΙΑΝΑΠΑΥΣΙΣ* vel simile quid.

27. *κατὰ μὲν τὸ Κλ. ψ.?*

28. *μυήσεις* A^d pr., *μυνήσεις* A^d corr. — *ΜΑΡΤΥΡΕΣ* in mg. add. A^d. it. 46.

29. *μεμύηκα* A^d pr., *μεμύνηκα* A^d corr. — *οὐδὲ ἕν*] *οὐδέν* A. —

ἐστὶν ὑμᾶς πεῖσαι. καὶ γὰρ οἱ λόγοι τῶν κατηγόρων, (οἳ)
ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον, καὶ λόγους
εἶπον ὡς πρότερον ἑτέρων ἁμαρτόντων καὶ ἀσεβη-
σάντων περὶ τὼ θεώ, οἷα ἕκαστος αὐτῶν ἔπαθε καὶ
ἐτιμωρήθη — τούτων οὖν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔρ- 30
γων τί προσήκει; ἐγὼ γὰρ πολὺ μᾶλλον ἐκείνων (ταῦτα)
κατηγορῶ, καὶ δι' αὐτὸ τοῦτό φημι δεῖν ἐκείνους μὲν
ἀπολέσθαι, ὅτι ἠσέβησαν, ἐμὲ δὲ σώζεσθαι, ὅτι οὐδὲν
ἡμάρτηκα. ἢ δεινόν γ' ἂν εἴη, εἰ ἐμοὶ ὀργίζοισθε
ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ τὴν εἰς ἐμὲ διαβολὴν
εἰδότες ὅτι ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν λέγεται,
κρείττω τῆς ἀληθείας ἡγήσεσθε. δηλονότι γὰρ τοῖς
μὲν ἡμαρτηκόσι τὰ τοιαῦτα ἁμαρτήματα οὐκ ἔστιν
ἀπολογία ὡς οὐκ ἐποίησαν· ἡ γὰρ βάσανος δεινὴ
παρὰ τοῖς εἰδόσιν· ἐμοὶ δὲ ὁ ἔλεγχος ἥδιστος, ἐν οἷς
[ὑμῶν] οὐδέν με δεῖ δεόμενον οὐδὲ παραιτούμενον
σωθῆναι ἐπὶ τῇ τοιαύτῃ αἰτίᾳ, ἀλλ' ἐλέγχοντα τοὺς
τῶν κατηγόρων λόγους καὶ ὑμᾶς ἀναμιμνήσκοντα
τὰ γεγενημένα, οἵ τινες ὅρκους μεγάλους ὀμόσαντες 31
οἴσετε τὴν ψῆφον περὶ ἐμοῦ, καὶ ἀρασάμενοι τὰς
μεγίστας ἀρὰς ὑμῖν τε αὐτοῖς καὶ παισὶ τοῖς ὑμετέ-
ροις αὐτῶν, ἦ μὴν ψηφιεῖσθαι περὶ ἐμοῦ τὰ δίκαια,
πρὸς δὲ τούτοις μεμύησθε καὶ ἑωράκατε τοῖν θεοῖν

καὶ γὰρ οἱ λόγοι κτἑ.] si addas οἳ, nihil in his cum Andocide non convenire videtur, neque cuiquam eorum qui praeterea mutare tentarunt conatus prospere cessit. — *ἀνωρθίαζον*] cf. Harp.: *ἀνωρθ. ἀντὶ τοῦ ὄρθιον βοῶντες ἔλεγον Ἀνδοκίδης*, et Suid. et B. A. I p. 412. Eurip. Andr. 1148 et Aesch. Ch. 271 confert Kö.

30. *ἡγήσαισθε* cum R. Bk. (vulg. ret. Schi. Turr.). — *ὑμῶν* hoc loco molestum est neque omnino desideratur. — *τῇ τοιαύτῃ* pr. A W.: *τοιαύτῃ.* — *ἀναμιμνήσκοντα* ci. R. Bait.: *ἀναμιμνήσκω.*

31. *παισὶ* A et corr. B (Bk): *πᾶσι.* — *ἡ* (*ἦ*) *μὴν ψηφιεῖσθαι* AB (*ἦ μὴν . . . ψηφιεῖσθαι* A[d]) Turr. Kl. Schi.: *εἰ μὴ ψηφιεῖσθε.*

τὰ ἱερά, ἵνα τιμωρήσητε μὲν τοὺς ἀσεβοῦντας,
32 *σώζητε δὲ τοὺς μηδὲν ἀδικοῦντας. νομίσατε τοίνυν*
ἀσέβημα οὐδὲν ἔλαττον εἶναι τοὺς μηδὲν ἠδικηκότας
ἀσεβεῖν καταγνῶναι ἢ τοὺς ἠσεβηκότας μὴ τιμω-
ρεῖσθαι. ὥστ' ἐγὼ ὑμῖν πολὺ μᾶλλον τῶν κατηγόρων
πρὸς τοῖν θεοῖν ἐπισκήπτω, ὑπέρ τε τῶν ἱερῶν ἃ
εἴδετε, καὶ ὑπὲρ τῶν Ἑλλήνων οἳ τῆς ἑορτῆς ἕνεκεν
ἔρχονται δεῦρο· εἰ μέν τι ἠσέβηκα ἢ ὡμολόγηκα ἢ
ἐμήνυσα κατά τινος ἀνθρώπων, ἢ ἄλλος τις περὶ
33 *ἐμοῦ, ἀποκτείνατέ με· οὐ παραιτοῦμαι· εἰ δὲ οὐδὲν*
ἡμάρτηταί μοι, καὶ τοῦτο ὑμῖν ἀποδείκνυμι σαφῶς,
δέομαι ὑμῶν αὐτὸ φανερὸν τοῖς Ἕλλησι πᾶσι ποιῆσαι,
ὡς ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα κατέστην. ἐὰν γὰρ
μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων καὶ
ἀτιμωθῇ ὁ ἐνδείξας ἐμὲ Κηφίσιος οὑτοσί, οὐκ
ἐξέσται αὐτῷ εἰς τὸ ἱερὸν τοῖν θεοῖν εἰσιέναι, ἢ
ἀποθανεῖται. εἰ οὖν ὑμῖν δοκῶ ἱκανῶς περὶ τούτων
ἀπολελογῆσθαι, δηλώσατέ μοι, ἵνα προθυμότερον
περὶ τῶν ἄλλων ἀπολογῶμαι.

34 *Περὶ δὲ τῶν ἀναθημάτων τῆς περικοπῆς καὶ τῆς*
μηνύσεως, ὥσπερ καὶ ὑπεσχόμην ὑμῖν, οὕτω καὶ
ποιήσω· ἐξ ἀρχῆς γὰρ ὑμᾶς διδάξω ἅπαντα τὰ γεγε-
νημένα. ἐπειδὴ Τεῦκρος ἧλθε Μεγαρόθεν ἄδειαν
εὑρόμενος, μηνύει περί τε τῶν μυστηρίων ἃ ᾔδει
καὶ τῶν περικοψάντων τὰ ἀναθήματα, καὶ ἀπογράφει

32. *ἐπισκήπτω*] cf. Harp. s. v. *ἐπεσκήψατο: τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω καὶ οἷον ἐξορκίζω Ἀνδ. τε ἐν τῷ περὶ τῶν μυστηρίων καὶ Λυσίας — — εἰρήκασιν. — εἴδετε* A Bk.: *ἴδετε. — μεμήνυκα* Bait., sicut est § 29.

33. *αὐτὸ*] *αὖ τοῦτο* Emp. — *Κηφίσιος* auct. Steph. Bk.: *Κηφήσιος. — ἐξέσται* scripsi: *ἔξεστιν. — ὑμῖν δοκῶ* AB Bk.: *δοκῶ ὑμῖν. — ἀπολελογῆσθαι* AB Bk.: *ἀπολογεῖσθαι.*

34. *καὶ τῶν* Ald.: *ἐκ τῶν.* —

δυοῖν δέοντας εἴκοσιν ἄνδρας. ἐπειδὴ δὲ οὗτοι ἀπεγράφησαν, οἱ μὲν αὐτῶν φεύγοντες ᾤχοντο, οἱ δὲ συλληφθέντες ἀπέθανον κατὰ τὴν Τεύκρου μήνυσιν. Καί μοι ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα.

35 ΟΝΟΜΑΤΑ. Τεῦκρος ἐπὶ τοῖς Ἑρμαῖς ἐμήνυσεν Εὐκτήμονα, Γλαύκιππον, Εὐρύμαχον, Πολύευκτον, Πλάτωνα, Ἀντίδωρον, Χάριππον, Θεόδωρον, Ἀλκισθένη, Μενέστρατον, Ἐρυξίμαχον, Εὐφίλητον, Εὐρυδάμαντα, Φερεκλέα, Μέλητον, Τιμάνθη, Ἀρχίδαμον, Τελένικον.

Τούτων τοίνυν τῶν ἀνδρῶν οἱ μὲν ἥκουσι καί εἰσιν ἐνθάδε, τῶν δὲ ἀποθανόντων εἰσὶ πολλοὶ προσήκοντες· ὧν ὅστις βούλεται, ἐν τῷ ἐμῷ λόγῳ ἀναβάς με ἐλεγξάτω ἢ ὡς ἔφυγέ τις δι' ἐμὲ τούτων τῶν ἀνδρῶν ἢ ὡς ἀπέθανεν.

36 Ἐπειδὴ δὲ ταῦτα ἐγένετο, Πείσανδρος καὶ Χαρι-
6 κλῆς, ὄντες μὲν τῶν ζητητῶν, δοκοῦντες | δ' ἐν ἐκείνῳ τῷ χρόνῳ εὐνούστατοι εἶναι τῷ δήμῳ, ἔλεγον ὡς εἴη τὰ ἔργα τὰ γεγενημένα οὐκ ὀλίγων ἀνδρῶν ἀλλ' ἐπὶ τῇ τοῦ δήμου καταλύσει, καὶ χρῆναι ἔτι ζητεῖν καὶ μὴ παύσασθαι. καὶ ἡ πόλις οὕτως διέκειτο, ὥστ' ἐπειδὴ τὴν βουλὴν εἰς τὸ βουλευτήριον ὁ κῆρυξ ἀνείποι ἰέναι καὶ τὸ σημεῖον καθέλοι, τῷ αὐτῷ σημείῳ ἡ μὲν βουλὴ εἰς τὸ βουλευτήριον ᾔει, οἱ δ' ἐκ τῆς ἀγορᾶς ἔφευγον, δεδιότες εἷς ἕκαστος μὴ

εἴκοσι A[d] pr.

35. Ἀλκισθένη et Τιμάνθη Schi.: Ἀλκισθένην et Τιμάνθην. — Ἐρυξίμαχον cum Steph. Bk.: εὐρυξίμαχον A, εὐριξύμαχον BLZ, εὐριξίμαχον Ald. — Εὐφίλητον] cf. titulum supra ad § 13 commemoratum: ΕΥΦΙΛΗΤΟΥ ΤΟΥ ΤΙΜΟΘΕΟΥ ΚΥΔΑΘΗΝΑΙΕΩΣ. — εὐρυμάδαντα AB, εὐροδάμαντα Z.

36. ζητητῶν] cf. Harp. ζητητής· ἀρχή τις Ἀθήνησι κατὰ καιροὺς καθισταμένη — —· Δημοσθένης — — καὶ Ἀνδοκίδης ἐν τῷ περὶ ἐνδείξεως. — ἔλεγον οὖν ὡς Ald. — οὕτως A[d] Turr.: οὕτω. — ἀνείποι Schoem. Dobr. Bk.: ἀνείπῃ. — καθέλοι AB Bk.: καθέλῃ. — ἔφευγον Bait.: ἔφυγον.

37 συλληφθείη. ἐπαρθεὶς οὖν τοῖς τῆς πόλεως κακοῖς
εἰσαγγέλλει Διοκλείδης εἰς τὴν βουλήν, φάσκων
εἰδέναι τοὺς περικόψαντας τοὺς Ἑρμᾶς, καὶ εἶναι
αὐτοὺς εἰς τριακοσίους· ὡς δ' ἴδοι καὶ περιτύχοι
τῷ πράγματι, ἔλεγε. καὶ τούτοις, ὦ ἄνδρες, δέομαι
ὑμῶν προσέχοντας τὸν νοῦν ἀναμιμνήσκεσθαι, ἐὰν
ἀληθῆ λέγω, καὶ διδάσκειν ἀλλήλους· ἐν ὑμῖν γὰρ
ἦσαν οἱ λόγοι, καί μοι ὑμεῖς τούτων μάρτυρές ἐστε.
38 ἔφη γὰρ εἶναι μὲν ἀνδράποδόν οἱ ἐπὶ Λαυρίῳ, δεῖν
δὲ κομίσασθαι ἀποφοράν. ἀναστὰς δὲ πρῴ ψευσθεὶς
τῆς ὥρας βαδίζειν· εἶναι δὲ πανσέληνον. ἐπεὶ δὲ
παρὰ τὸ προπύλαιον τοῦ Διονύσου ἦν, ὁρᾶν ἀνθρώ-
πους πολλοὺς ἀπὸ τοῦ ᾠδείου καταβαίνοντας εἰς
τὴν ὀρχήστραν· δείσας δὲ αὐτούς, εἰσελθὼν ὑπὸ
τὴν σκιὰν καθέζεσθαι μεταξὺ τοῦ κίονος καὶ τῆς
στήλης ἐφ' ᾗ ὁ στρατηγός ἐστιν ὁ χαλκοῦς. ὁρᾶν
δὲ ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους,
ἑστάναι δὲ κύκλῳ ἀνὰ πέντε καὶ δέκα ἄνδρας, τοὺς
δὲ ἀνὰ εἴκοσιν· ὁρῶν δὲ αὐτῶν πρὸς τὴν σελήνην
39 τὰ πρόσωπα τῶν πλείστων γιγνώσκειν. καὶ πρῶτον
μέν, ὦ ἄνδρες, τοῦθ' ὑπέθετο δεινότατον πρᾶγμα,
οἶμαι, ὅπως ἐν ἐκείνῳ εἴη ὅντινα βούλοιτο Ἀθηναίων
φάναι τῶν ἀνδρῶν τούτων εἶναι, ὅντινα δὲ μὴ
βούλοιτο, λέγειν ὅτι οὐκ ἦν. ἰδὼν δὲ ταῦτ' ἔφη
ἐπὶ Λαύριον ἰέναι, καὶ τῇ ὑστεραίᾳ ἀκούειν ὅτι οἱ

37. *Διοκλείδης* Ald.: *διὸ καὶ δὶς*.
38. *πρῴ* Bk.: *πρωὶ* A, *πρωῒ* v. — *τὸ Διονύσου* ZMBk. Schi. — *σκιὰν*] *οἰκίαν* pr. A. — *ὁρᾶν δὲ κτέ.*] cf. Galen. XVIII A p. 450 ed. Kühn: *Α. ἐν τῷ περὶ μυστηρίων· ἄδων δ' ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους.* *μὲν* et *μάλιστα*, quae om. codd., e Galeno add. Sl. Bk. idem Sl. pro *ὁρᾶν* (*ἄδων*) ci. *ἰδεῖν*. — *τῶν πλείστων*] *τὰ πλεῖστα* pr. A.
39. *Λαύριον* Bk.: *λαυρίαν* codd., *λαυρεῖον* v. (sicut *Λαυρείῳ* § 38).

*Ἑρμαῖ εἶεν περικεκομμένοι· γνῶναι οὖν εὐθὺς ὅτι
τούτων εἴη τῶν ἀνδρῶν τὸ ἔργον. ἥκων δὲ εἰς ἄστυ* 40
*ζητητάς τε ἤδη ᾑρημένους καταλαμβάνειν καὶ μήνυ-
τρα κεκηρυγμένα ἑκατὸν μνᾶς. ἰδὼν δὲ Εὔφημον
τὸν Καλλίου τοῦ Τηλεκλέους ἀδελφὸν ἔν τῳ χαλκείῳ
καθήμενον, ἀναγαγὼν αὐτὸν εἰς τὸ Ἡφαιστεῖον
λέγειν ἅπερ ὑμῖν ἐγὼ εἴρηκα, ὡς ἴδοι ἡμᾶς ἐν ἐκείνῃ
τῇ νυκτί· οὔκουν δέοιτο παρὰ τῆς πόλεως χρήματα
λαβεῖν μᾶλλον ἢ παρ' ἡμῶν, ὥσθ' ἡμᾶς ἔχειν φίλους.
εἰπεῖν οὖν τὸν Εὔφημον ὅτι καλῶς ποιήσειεν εἰπών,
καὶ νῦν ἥκειν κελεῦσαί οἵ εἰς τὴν Λεωγόρου οἰκίαν,
ἵν' ἐκεῖ συγγένῃ μετ' ἐμοῦ Ἀνδοκίδῃ καὶ ἑτέροις
οἷς δεῖ. ἥκειν ἔφη τῇ ὑστεραίᾳ, καὶ δὴ κόπτειν τὴν* 41
*θύραν· τὸν δὲ πατέρα τὸν ἐμὸν τυχεῖν ἐξιόντα, καὶ
εἰπεῖν αὐτόν· „ἆρά γε σὲ οἵδε περιμένουσι; χρὴ
μέντοι μὴ ἀπωθεῖσθαι τοιούτους φίλους.“ εἰπόντα
δὲ αὐτὸν ταῦτα οἴχεσθαι. καὶ τούτῳ μὲν τῷ τρόπῳ
τὸν πατέρα μου ἀπώλλυε, συνειδότα ἀποφαίνων.
εἰπεῖν δὲ ἡμᾶς ὅτι δεδογμένον ἡμῖν εἴη δύο μὲν
τάλαντα ἀργυρίου διδόναι οἵ ἀντὶ τῶν ἑκατὸν μνῶν
τῶν ἐκ τοῦ δημοσίου, ἐὰν δὲ κατάσχωμεν ἡμεῖς ἃ
βουλόμεθα, ἕνα αὐτὸν ἡμῶν εἶναι, πίστιν δὲ τούτων
δοῦναί τε καὶ δέξασθαι. ἀποκρίνασθαι δὲ αὐτὸς* 42
*πρὸς ταῦτα ὅτι βουλεύσοιτο· ἡμᾶς δὲ κελεύειν αὐτὸν
ἥκειν εἰς Καλλίου τοῦ Τηλεκλέους, ἵνα κἀκεῖνος
παρείη. τὸν δ' αὖ κηδεστήν μου οὕτως ἀπώλλυεν.
ἥκειν ἔφη εἰς Καλλίου, καὶ καθομολογήσας ἡμῖν
πίστιν δοῦναι ἐν ἀκροπόλει, καὶ ἡμᾶς συνθεμένους*

40. *ἔν τῳ* Valck.: *ἐν τῷ*. — *ἴδοι ὑμᾶς* A[d] M. — *κελεῦσαί οἵ*] pronomen ad Euphemum referri debet (cf. R. Add.).
41. *βουλώμεθα* A. — *αὐτὸν* R. Bk.: *αὐτῶν*.
42. *παρήει* pr. A, *παροίη* B. — *καθομολογήσας* AB Bk.: *καθοδηγήσας*. — *ἐπιόντα* Emp. Turr.: *εἰςιόντα*.

οἱ τὸ ἀργύριον εἰς τὸν ἐπιόντα μῆνα δώσειν διαψεύδεσθαι καὶ οὐ διδόναι· ἥκειν οὖν μηνύσων τὰ γενόμενα.

43 Ἡ μὲν εἰσαγγελία αὐτῷ, ὦ ἄνδρες, τοιαύτη· ἀπογράφει δὲ τὰ ὀνόματα τῶν ἀνδρῶν ὧν ἔφη γνῶναι, δύο καὶ τετταράκοντα, πρώτους μὲν Μαντίθεον καὶ Ἀψεφίωνα, βουλευτὰς ὄντας καὶ καθημένους ἔνδον, εἶτα δὲ καὶ τοὺς ἄλλους. ἀναστὰς δὲ Πείσανδρος ἔφη χρῆναι λύειν τὸ ἐπὶ Σκαμανδρίου ψήφισμα καὶ ἀναβιβάζειν ἐπὶ τὸν τροχὸν τοὺς ἀπογραφέντας, ὅπως μὴ πρότερον νὺξ ἔσται πρὶν πυθέσθαι τοὺς ἄνδρας ἅπαντας. ἀνέκραγεν ἡ βουλὴ
44 ὡς εὖ λέγει. | ἀκούσαντες δὲ ταῦτα Μαντίθεος καὶ
7 Ἀψεφίων ἐπὶ τὴν ἑστίαν ἐκαθέζοντο, ἱκετεύοντες μὴ στρεβλωθῆναι ἀλλ' ἐξεγγυηθέντες κριθῆναι. μόλις δὲ τούτων τυχόντες, ἐπειδὴ τοὺς ἐγγυητὰς κατέστησαν, ἐπὶ τοὺς ἵππους ἀναβάντες ᾤχοντο εἰς τοὺς πολεμίους αὐτομολήσαντες, καταλιπόντες τοὺς ἐγγυητάς, οὓς ἔδει (ἐν) τοῖς αὐτοῖς ἐνέχεσθαι ἐν οἷσπερ
45 οὓς ἠγγυήσαντο. ἡ δὲ βουλὴ ἐξελθοῦσα ἐν ἀπορρήτῳ συνέλαβεν ἡμᾶς καὶ ἔδησεν ἐν τοῖς ξύλοις. ἀνακαλέσαντες δὲ τοὺς στρατηγοὺς ἀνειπεῖν ἐκέλευσαν Ἀθηναίων τοὺς μὲν ἐν ἄστει οἰκοῦντας ἰέναι εἰς τὴν ἀγορὰν τὰ ὅπλα λαβόντας, τοὺς δ' ἐν μακρῷ τείχει εἰς τὸ Θησεῖον, τοὺς δ' ἐν Πειραιεῖ εἰς τὴν Ἱπποδαμείαν ἀγοράν, τοὺς δὲ ἱππεῖς ἔτι (πρὸ)

43. αὐτῷ cum R. Turr.: αὐτῶν. — Ἀφεψίωνα Bk. (Ἀφεψίονα R.). cf. Boeckh. C. I. II p. 340 (Turr.).
44. Ἀφεψίων Bk. — ἐξεγγυηθέντες Sl. Bk.: ἐξεγγυηθέντας. — ἐγκαταλιπόντες ci. S. — ἐν add. W.
45. εἰς τὸ Θησ. cum R. Bk.: εἴς τε Θ. AB, εἴς γε Θ. v. — Ἱπποδαμείαν Lobeck. Turr.: Ἱπποδαμίαν. — (πρὸ) νυκτὸς scripsi; cf. § 48. — Ἀνακεῖον Schi. —

νυκτὸς σημῆναι τῇ σάλπιγγι ἥκειν εἰς τὸ Ἀνάκειον, τὴν δὲ βουλὴν εἰς ἀκρόπολιν ἰέναι κἀκεῖ καθεύδειν, τοὺς δὲ πρυτάνεις ἐν τῇ θόλῳ. Βοιωτοὶ δὲ πεπυσμένοι τὰ πράγματα ἐπὶ τοῖς ὁρίοις ἦσαν ἐξεστρατευμένοι. τὸν δὲ τῶν κακῶν τούτων αἴτιον Διοκλείδην ὡς σωτῆρα ὄντα τῆς πόλεως ἐπὶ ζεύγους ἦγον εἰς τὸ πρυτανεῖον στεφανώσαντες, καὶ ἐδείπνει ἐκεῖ.

Πρῶτον μὲν οὖν ταῦτα, ὦ ἄνδρες, ὁπόσοι ὑμῶν 46
παρῆσαν, ἀναμιμνήσκεσθε καὶ τοὺς ἄλλους διδάσκετε· εἶτα δέ μοι τοὺς πρυτάνεις κάλει τοὺς τότε πρυτανεύσαντας, Φιλοκράτη καὶ τοὺς ἄλλους.

ΜΑΡΤΥΡΕΣ.

Φέρε δή, καὶ τὰ ὀνόματα ὑμῖν ἀναγνώσομαι 47
τῶν ἀνδρῶν ὧν ἀπέγραψεν, ἵν᾽ εἰδῆτε ὅσους μοι τῶν συγγενῶν ἀπώλλυεν, πρῶτον μὲν τὸν πατέρα, εἶτα δὲ τὸν κηδεστήν, τὸν μὲν συνειδότα ἀποδεικνύς, τοῦ δ᾽ ἐν τῇ οἰκίᾳ φάσκων τὴν σύνοδον γενέσθαι. τῶν δ᾽ ἄλλων ἀκούσεσθε τὰ ὀνόματα. Καὶ αὐτοῖς ἀναγίγνωσκε.

Χαρμίδης Ἀριστοτέλους·
οὗτος ἀνεψιὸς ἐμός· ἡ μήτηρ ἡ ἐκείνου καὶ ὁ πατὴρ ὁ ἐμὸς ἀδελφοί.

στεφανώσαντες A^d pr. („*στεφανώσαντες* A ni fallor" Bk.) Bk : *στεφανώσοντες*.

46. *Φ. καὶ τοὺς ἄλλους* cum R. Bk.: libri post h. v. iterant *διδάσκετε*.

47. *ἀπέγραψεν* AB Bk.: *ἔγραψεν*. — *ἀναγίνωσκε* . . A^d. — *μήτηρ ἐκείνου* A^d M v. ante Bk. — *ὁ πατὴρ ὁ ἐμὸς* A Bk.: *ὁ πατὴρ ἐμὸς* LZ, *ὁ ἐμὸς πατὴρ* v. — malim *Ἀλκμέωνος* (v. § 16). — *φρίνικος* ABLZ. Schol. Ar. Nub. 1087 confert Sl.; contra Kö. in vocabulo *ὀρχησ*. patris nomen latere putat. — post *Κριτίας· ἀνεψιὸς* legebantur male iterata *Εὐκρατίας ὁ Νικίου ἀδελφός*, quae auct. R. del. Bk. — ceterum in hoc indice aliquid turbatum esse evincitur e § 68: *ἀνεψιοὶ τρεῖς, τῶν ἄλλων συγγενῶν ἑπτά.* nam etiamsi ibi cum Sl. *πέντε* pro *ἑπτὰ* rescribas,

Ταυρέας·
οὑτοσὶ ἀνεψιὸς τοῦ πατρός.
Νισαῖος·
υἱὸς Ταυρέου.
Καλλίας ὁ Ἀλκμαίονος·
ἀνεψιὸς τοῦ πατρός.
Εὔφημος·
Καλλίου τοῦ Τηλεκλέους ἀδελφός.
Φρύνιχος ὁ ὀρχησάμενος·
ἀνεψιός.
Εὐκράτης ὁ Νικίου ἀδελφός·
κηδεστὴς οὗτος Καλλίου .
Κριτίας·
ἀνεψιὸς καὶ οὗτος τοῦ πατρός· αἱ μητέρες ἀδελφαί.

Τούτους πάντας ἐν τοῖς τετταράκοντα ἀνδράσιν ἀπέγραψεν.

Ἐπειδὴ δὲ ἐδεδέμεθα πάντες ἐν τῷ αὐτῷ καὶ
48 *νύξ τε ἦν καὶ τὸ δεσμωτήριον συνεκέκλειστο, ἧκον*
δὲ τῷ μὲν μήτηρ τῷ δὲ ἀδελφὴ τῷ δὲ γυνὴ καὶ
παῖδες, ἦν δὲ βοὴ καὶ οἶκτος κλαιόντων καὶ ὀδυρο-
μένων τὰ παρόντα κακά, λέγει πρός με Χαρμίδης,
ὢν μὲν ἀνεψιός, ἡλικιώτης δὲ καὶ συνεκτραφεὶς ἐν
τῇ οἰκίᾳ τῇ ἡμετέρᾳ ἐκ παιδός, ὅτι „Ἀνδοκίδη, τῶν
49 *μὲν παρόντων κακῶν ὁρᾷς τὸ μέγεθος, ἐγὼ δ᾽ ἐν*
μὲν τῷ παρελθόντι χρόνῳ οὐδὲν ἐδεόμην λέγειν
οὐδέ σε λυπεῖν, νῦν δὲ ἀναγκάζομαι διὰ τὴν παροῦσαν
ἡμῖν συμφοράν. οἷς γὰρ ἐχρῶ καὶ οἷς συνῆσθα ἄνευ
ἡμῶν τῶν συγγενῶν, οὗτοι ἐπὶ ταῖς αἰτίαις δι᾽ ἃς
ἡμεῖς ἀπολλύμεθα οἱ μὲν αὐτῶν τεθνᾶσιν, οἱ δὲ

ut numerus constet, certe duo tantum consobrini commemorati erunt. fort. *τοῦ πατρός* altero loco delendum. — *πάντας* AB Bk.: *ἅπαντας*. — *ἀπέγραψεν* Steph.: *ἐπέγραψεν*.
48. „immo *συνεκέκλητο*“ S. — *κλαόντων* Schi.

οἴχονται φεύγοντες, σφῶν αὐτῶν καταγνόντες ἀδι-
κεῖν . . . . . . εἰ ἤκουσάς τι τούτου τοῦ πράγματος 50
τοῦ γενομένου, εἰπέ, καὶ πρῶτον μὲν σεαυτὸν σῶσον,
εἶτα δὲ τὸν πατέρα, ὃν εἰκός ἐστί σε μάλιστα φιλεῖν,
εἶτα δὲ τὸν κηδεστήν, ὃς ἔχει σου τὴν ἀδελφὴν ἥπερ
σοι μόνη ἐστίν, ἔπειτα δὲ τοὺς ἄλλους συγγενεῖς
καὶ ἀναγκαίους τοσούτους ὄντας, ἔτι δὲ ἐμέ, ὃς ἐν
ἅπαντι τῷ βίῳ ἠνίασα μέν σε οὐδὲν πώποτε, προθυ-
μότατος δὲ εἰς σὲ καὶ τὰ σὰ πράγματά εἰμι, ὅ τι ἂν
δέῃ ποιεῖν.“ λέγοντος δὲ ὦ ἄνδρες Χαρμίδου ταῦτα, 51
ἀντιβολούντων δὲ τῶν ἄλλων καὶ ἱκετεύοντος ἑνὸς
ἑκάστου, ἐνεθυμήθην πρὸς ἐμαυτόν· „Ὦ πάντων
ἐγὼ δεινοτάτῃ συμφορᾷ περιπεσών, πότερα περιίδω
τοὺς ἐμαυτοῦ συγγενεῖς ἀπολλυμένους ἀδίκως, καὶ
αὐτούς τε ἀποθανόντας καὶ τὰ χρήματα αὐτῶν δη-
μευθέντα, πρὸς δὲ τούτοις ἀναγραφέντας ἐν στήλαις
ὡς ὄντας ἀλιτηρίους τῶν θεῶν τοὺς οὐδενὸς αἰτίους
τῶν γεγενημένων, ἔτι δὲ τριακοσίους Ἀθηναίων
μέλλοντας ἀδίκως | ἀπολεῖσθαι, τὴν δὲ πόλιν ἐν 8
κακοῖς οὖσαν τοῖς μεγίστοις καὶ ὑποψίαν εἰς ἀλλή-
λους ἔχοντας, ἢ εἴπω Ἀθηναίοις ἃ περ ἤκουσα
Εὐφιλήτου αὐτοῦ τοῦ ποιήσαντος;“ ἔτι δὲ ἐπὶ τού- 52
τοις καὶ τόδε ἐνεθυμήθην, ὦ ἄνδρες, καὶ ἐλογιζόμην
πρὸς ἐμαυτὸν τοὺς ἐξημαρτηκότας καὶ τὸ ἔργον
εἰργασμένους, ὅτι οἱ μὲν αὐτῶν ἤδη ἐτεθνήκεσαν
ὑπὸ Τεύκρου μηνυθέντες, οἱ δὲ φεύγοντες ᾤχοντο

49. post ἀδικεῖν lacuna est in ABL, in A quidem XII litterarum. τούτων τοίνυν ins. vult S., φέρε δὴ τοίνυν Linder. K.
51. ὦ πάντων ABLZ. — ἀπολεῖσθαι Steph. R. Bait., coll. §§ 66, 67, 68: ἀπολέσθαι. — post ἔχοντας Dobr. add. ἅπαντας.
52. εἰργασμένους AB (εἰργασαμένους A[d]) Bk.: ἐργασαμένους. —

καὶ αὐτῶν θάνατος κατέγνωστο, τέτταρες δὲ ἦσαν
ὑπόλοιποι οἳ οὐκ ἐμηνύθησαν ὑπὸ Τεύκρου τῶν
πεποιηκότων, Παναίτιος Χαιρέδημος Διάκριτος Λυσί-
53 στρατος· οὓς εἰκὸς ἦν ἁπάντων μάλιστα δοκεῖν εἶναι
τούτων τῶν ἀνδρῶν οὓς ἐμήνυσε Διοκλείδης, φίλους
ὄντας τῶν ἀπολωλότων ἤδη. καὶ τοῖς μὲν οὐδέπω
βέβαιος ἦν ἡ σωτηρία, τοῖς δὲ ἐμοῖς οἰκείοις φανερὸς
(ὁ) ὄλεθρος, εἰ μή τις ἐρεῖ Ἀθηναίοις τὰ γενόμενα.
ἐδόκει οὖν μοι κρεῖττον εἶναι τέτταρας ἄνδρας ἀπο-
στερῆσαι τῆς πατρίδος δικαίως, οἳ νῦν ζῶσι καὶ
κατεληλύθασι καὶ ἔχουσι τὰ σφέτερα αὐτῶν, ἢ ἐκεί-
54 νους ἀποθανόντας ἀδίκως περιιδεῖν. εἰ οὖν τινὶ
ὑμῶν, ὦ ἄνδρες, (ἢ) τῶν ἄλλων πολιτῶν γνώμη
τοιαύτη παρειστήκει πρότερον περὶ ἐμοῦ, ὡς ἄρα
ἐγὼ ἐμήνυσα κατὰ τῶν ἑταίρων τῶν ἐμαυτοῦ, ὅπως
ἐκεῖνοι μὲν ἀπόλοιντο, ἐγὼ δὲ σωθείην — ἃ ἐλογο-
ποίουν οἱ ἐχθροὶ περὶ ἐμοῦ, βουλόμενοι διαβάλλειν
55 με — σκοπεῖσθε ἐξ αὐτῶν τῶν γεγενημένων. νῦν
γὰρ ἐμὲ μὲν λόγον (δεῖ) διδόναι τῶν ἐμοὶ πεπραγμέ-
νων μετὰ τῆς ἀληθείας, αὐτῶν παρόντων οἵπερ
ἥμαρτον καὶ ἔφυγον ταῦτα ποιήσαντες, ἴσασι δὲ
ἄριστα εἴτε ψεύδομαι εἴτε ἀληθῆ λέγω, ἔξεστι δὲ
αὐτοῖς ἐλέγχειν με ἐν τῷ ἐμῷ λόγῳ· ἐγὼ γὰρ ἐφίημι·
56 ὑμᾶς δὲ δεῖ μαθεῖν τὰ γενόμενα. ἐμοὶ γὰρ ὦ ἄνδρες
τοῦδε τοῦ ἀγῶνος τοῦτ' ἔστι μέγιστον, σωθέντι μὴ
δοκεῖν κακῷ εἶναι, (ἀλλὰ πρῶτον μὲν ὑμᾶς) εἶτα δὲ
καὶ τοὺς ἄλλους ἅπαντας μαθεῖν ὅτι οὔτε μετὰ
κακίας οὔτε μετ' ἀνανδρίας οὐδεμιᾶς τῶν γεγενη-

Διάκριτος nomen iniuria tentaverunt Valck. et R.: v. Turr.
53. (ὁ) ὄλεθρος cum R. Bk.
54. ἢ cum Sl. add. Bk.
55. δεῖ cum R. add. Turr. (δεῖ δοῦναι Dobr.).

μένων πέπρακται ὑπ' ἐμοῦ οὐδέν, ἀλλὰ διὰ συμφορὰν γεγενημένην μάλιστα μὲν τῇ πόλει, εἶτα δὲ καὶ ἡμῖν, εἶπον δὲ ἃ ἤκουσα Εὐφιλήτου προνοίᾳ μὲν τῶν συγγενῶν καὶ τῶν φίλων, προνοίᾳ δὲ τῆς πόλεως ἁπάσης, μετ' ἀρετῆς ἀλλ' οὐ μετὰ κακίας, ὡς ἐγὼ νομίζω. εἰ οὖν οὕτως ἔχει ταῦτα, σώζεσθαί τε ἀξιῶ καὶ δοκεῖν ὑμῖν εἶναι μὴ κακός. φέρε δὴ 57
— χρὴ γὰρ ὦ ἄνδρες ἀνθρωπίνως περὶ τῶν πραγμάτων ἐκλογίζεσθαι, ὥσπερ ἂν αὐτὸν ὄντα ἐν τῇ συμφορᾷ — τί ἂν ὑμῶν ἕκαστος ἐποίησεν; εἰ μὲν γὰρ ἦν δυοῖν τὸ ἕτερον ἑλέσθαι, ἢ καλῶς ἀπολέσθαι ἢ αἰσχρῶς σωθῆναι, ἔχοι ἄν τις εἰπεῖν κακίαν εἶναι τὰ γενόμενα· καίτοι πολλοὶ ἂν καὶ τοῦτο εἵλοντο, τὸ ζῆν περὶ πλείονος ποιησάμενοι τοῦ καλῶς ἀποθανεῖν· ὅπου δὲ τούτων τὸ ἐναντιώτατον ἦν, σιωπή- 58
σαντι μὲν αὐτῷ τε αἴσχιστα ἀπολέσθαι μηδὲν ἀσεβήσαντι, ἔτι δὲ τὸν πατέρα περιιδεῖν ἀπολόμενον καὶ τὸν κηδεστὴν καὶ τοὺς συγγενεῖς καὶ ἀνεψιοὺς τοσούτους, οὓς οὐδεὶς ἀπώλλυεν ἢ ἐγὼ μὴ εἰπὼν ὡς ἕτεροι ἥμαρτον· Διοκλείδης μὲν γὰρ ψευσάμενος ἔδησεν αὐτούς, σωτηρία δὲ αὐτῶν ἄλλη οὐδεμία ἦν ἢ πυθέσθαι Ἀθηναίους πάντα τὰ πραχθέντα· φονεὺς οὖν αὐτῶν ἐγιγνόμην ἐγὼ μὴ εἰπὼν ὑμῖν ἃ ἤκουσα. ἔτι δὲ τριακοσίους Ἀθηναίων ἀπώλλυον, καὶ ἡ

56. *ὑμῖν* post *μὴ δοκεῖν* addi vult R., post *σωθέντι* vel post *κακῷ* Scheib. — *ἀνανδρίας* ABk.: *ἀνδρίας* B, *ἀδικίας* v. — *πόλει εἶτα δὲ καὶ* Sl.: *πόλει εἶτα . . καὶ* A[d], unde *πόλει εἶτα καὶ* Bk.; *πολιτείᾳ καὶ* v. ante Bk.

57. *δυοῖν*] *δυσὶ* ABLZ. — *ἔχει* A[d] pr. — *γενόμενα* ci. R. Bait.: *λεγόμενα*.

58. *ἀπολόμενον* AB Bk.: *ἀπολούμενον*. — videtur hic quoque restituendum esse *καὶ τοὺς* (*ἄλλους*) *συγγενεῖς καὶ ἀναγκαίους τοσούτους* (*ὄντας*), sicut est § 50.

59 πόλις ἐν κακοῖς τοῖς μεγίστοις ἐγίγνετο. ταῦτα μὲν
οὖν ἦν ἐμοῦ μὴ εἰπόντος· εἰπὼν δὲ τὰ ὄντα αὐτός
τε ἐσωζόμην καὶ τὸν πατέρα ἔσωζον καὶ τοὺς ἄλλους
συγγενεῖς, καὶ τὴν πόλιν ἐκ φόβου καὶ κακῶν τῶν
μεγίστων ἀπήλλαττον. φυγάδες δὲ δι' ἐμὲ τέτταρες
ἄνδρες ἐγίγνοντο, οἵπερ καὶ ἥμαρτον· τῶν δ' ἄλλων,
οἳ πρότερον ὑπὸ Τεύκρου ἐμηνύθησαν, οὔτε δήπου
οἱ τεθνεῶτες δι' ἐμὲ μᾶλλον ἐτέθνασαν οὔτε οἱ
60 φεύγοντες μᾶλλον ἔφευγον. ταῦτα δὲ πάντα σκοπῶν
εὕρισκον, ὦ ἄνδρες, τῶν παρόντων κακῶν ταῦτα
ἐλάχιστα εἶναι, εἰπεῖν τὰ γενόμενα ὡς τάχιστα καὶ
ἐλέγξαι Διοκλείδην ψευσάμενον, (καὶ σῶσαί τε ἡμᾶς)
9 καὶ τιμωρήσασθαι ἐκεῖνον, ὃς ἡμᾶς μὲν | ἀπώλλυεν
ἀδίκως, τὴν δὲ πόλιν ἐξηπάτα, ταῦτα δὲ ποιῶν μέ-
γιστος εὐεργέτης ἐδόκει εἶναι καὶ χρήματα ἐλάμβανε.
61 διὰ ταῦτα εἶπον τῇ βουλῇ ὅτι εἰδείην τοὺς ποιή-
σαντας, καὶ ἐξήλεγξα τὰ γενόμενα, ὅτι εἰσηγήσατο
μὲν πινόντων ἡμῶν ταύτην τὴν βουλὴν Εὐφίλητος,
ἀντεῖπον δὲ ἐγώ, καὶ τότε μὲν οὐ γένοιτο δι' ἐμέ,
ὕστερον δ' ἐγὼ μὲν ἐν Κυνοσάργει ἐπὶ πωλίον ὃ
μοι ἦν ἀναβὰς ἔπεσον καὶ τὴν κλεῖν συνετρίβην καὶ
τὴν κεφαλὴν κατεάγην, φερόμενός τε ἐπὶ κλίνης
62 ἀπεκομίσθην οἴκαδε· αἰσθόμενος δ' Εὐφίλητος ὡς
ἔχοιμι, λέγει πρὸς αὐτοὺς ὅτι πέπεισμαι ταῦτα
συμποιεῖν καὶ ὡμολόγηκα αὐτῷ μεθέξειν τοῦ ἔργου

59. ἦν add. A Bk. — τῶν δ' ἄλλων οἳ Dobr. Turr.: τῶν δ' ἄλλων οἱ λοιποὶ. cf. § 52. — πρότερον in mg. add. A[d].
61. οὖν post εἶπον add. Ald. (om. Bk.). — βουλὴν γενέσθαι Εὐφ. codd.; del. γεν. Bk. — πωλίον cum R. Bk.: πωλεῖον. — ὃ μοι ἦν A Bk. (ci. R.): ὅμου ἦν BLZM, ὃ μονὴν v. (ὠμὸν Emp.).
62. ἔχοιμι AB Bk.: οἴχοιμι LZ, ἥκοιμι v. — αὐτῷ] αὐτῶν dedisse vid. pr. A[d]. — τὸ Φορβαντεῖον cum R. Bk. (coll. Harp. s. v.): τὸν (sed τὸ A) Φορβάντιον. — τὴν post παρὰ

καὶ περικόψειν τὸν Ἑρμῆν τὸν παρὰ τὸ Φορβαντεῖον. ταῦτα δ' ἔλεγεν ἐξαπατῶν ἐκείνους· καὶ διὰ ταῦτα ὁ Ἑρμῆς ὃν ὁρᾶτε πάντες, ὁ παρὰ τὴν πατρῴαν οἰκίαν τὴν ἡμετέραν, ὃν ἡ Αἰγηὶς ἀνέθηκεν, οὐ περιεκόπη μόνος τῶν Ἑρμῶν τῶν Ἀθήνησιν, ὡς ἐμοῦ τοῦτο ποιήσοντος, ὡς ἔφη πρὸς αὐτοὺς Εὐφίλητος. οἱ δ' αἰσθόμενοι δεινὰ ἐποίουν ὅτι εἰδείην 63
μὲν τὸ πρᾶγμα, πεποιηκὼς δὲ οὐκ εἴην. προσελθόντες δέ μοι τῇ ὑστεραίᾳ Μέλητος καὶ Εὐφίλητος ἔλεγον ὅτι „γεγένηται ὦ Ἀνδοκίδη καὶ πέπρακται ἡμῖν ταῦτα. σὺ μέντοι εἰ μὲν ἀξιοῖς ἡσυχίαν ἔχειν καὶ σιωπᾶν, ἕξεις ἡμᾶς ἐπιτηδείους ὥσπερ καὶ πρότερον· εἰ δὲ μή, χαλεπώτεροί σοι ἡμεῖς ἐχθροὶ ἐσόμεθα ἢ ἄλλοι τινὲς δι' ἡμᾶς φίλοι.“ εἶπον αὐτοῖς 64
ὅτι νομίζοιμι μὲν διὰ τὸ πρᾶγμα Εὐφίλητον πονηρὸν εἶναι, ἐκείνοις δὲ οὐκ ἐμὲ δεινὸν εἶναι, ὅτι οἶδα, ἀλλὰ μᾶλλον αὐτὸ τὸ ἔργον πολλῷ, ὅτι πεποίηται. ὡς οὖν ἦν ταῦτ' ἀληθῆ, τόν τε παῖδα τὸν ἐμὸν παρέδωκα βασανίσαι, ὅτι ἔκαμνον καὶ οὐδ' ἀνιστάμην ἐκ τῆς κλίνης, καὶ τὰς θεραπαίνας ἔλαβον οἱ πρυτάνεις, ὅθεν ὁρμώμενοι ταῦτ' ἐποίουν ἐκεῖνοι. ἐξελέγ- 65
χοντες δὲ τὸ πρᾶγμα ἥ τε βουλὴ καὶ οἱ ζητηταί, ἐπειδὴ ἦν ἣ ἐγὼ ἔλεγον καὶ ὡμολογεῖτο πανταχόθεν, τότε δὴ καλοῦσι τὸν Διοκλείδην· καὶ οὐ πολλῶν λόγων ἐδέησεν, ἀλλ' εὐθὺς ὡμολόγει ψεύδεσθαι, καὶ ἐδεῖτο σῴζεσθαι φράσας τοὺς πείσαντας αὐτὸν λέγειν

add. A Bk. — cf. Harp. s. v. Ἀνδοκίδου Ἑρμῆς: καὶ αὐτὸς Ἀ. ἐν τῷ π. τ. μυστ. ὅτι τῆς Αἰγηῒδος εἴη τὸ ἀνάθημα εἴρηκεν. — ποιήσοντος ci. R.: ποιήσανος.

63. Valckenaerium δεινὰ ἐποιοῦντο rescribentem refellit Förtsch. (comm. crit. de locis nonnullis Lys. et Dem. p. 23 sq.) — συμπεποιηκὼς W. — ἡμεῖς ἐχθροὶ AB Bk.: ἐχθροὶ ἡμεῖς.

64. δὲ . . . οὐκ ἐμὲ A[d]. — ὅθεν ὁρμ. κτἑ.] «illius domus ex qua profecti fasinus patraverant.»

ταῦτα· εἶναι δὲ Ἀλκιβιάδην τὸν Φηγούσιον καὶ
66 Ἀμίαντον τὸν ἐξ Αἰγίνης. καὶ οὗτοι μὲν δείσαντες
ᾤχοντο φεύγοντες· ὑμεῖς δὲ ἀκούσαντες ταῦτα Διο-
κλείδην μὲν τῷ δικαστηρίῳ παραδόντες ἀπεκτείνατε,
τοὺς δὲ δεδεμένους καὶ μέλλοντας ἀπολεῖσθαι ἐλύσατε,
τοὺς ἐμοὺς συγγενεῖς, δι' ἐμέ, καὶ τοὺς φεύγοντας
κατεδέξασθε, αὐτοὶ δὲ λαβόντες τὰ ὅπλα ἀπῇτε,
67 πολλῶν κακῶν καὶ κινδύνων ἀπαλλαγέντες. ἐν οἷς
ἐγώ, ὦ ἄνδρες, τῆς μὲν τύχης ᾗ ἐχρησάμην δικαίως
ἂν ὑπὸ πάντων ἐλεηθείην, τῶν δὲ (δι' ἐμὲ) γενο-
μένων ἕνεκεν εἰκότως (ἂν) ἀνὴρ ἄριστος δοκοίην
εἶναι, ὅστις εἰσηγησαμένῳ μὲν Εὐφιλήτῳ πίστιν τῶν
ἐν ἀνθρώποις ἀπιστοτάτην ἠναντιώθην καὶ ἀντεῖπον
καὶ ἐλοιδόρησα [ἐκείνῳ] ὧν ἦν ἄξιος, ἁμαρτόντων δ'
ἐκείνων τὴν ἁμαρτίαν αὐτοῖς συνέκρυψα, καὶ μηνύ-
σαντος κατ' αὐτῶν Τεύκρου οἱ μὲν αὐτῶν ἀπέθανον
οἱ δ' ἔφυγον, πρὶν ἡμᾶς ὑπὸ Διοκλείδου δεθῆναι
καὶ μέλλειν ἀπολεῖσθαι. τότε δὲ ἀπέγραψα τέτταρας
ἄνδρας, Παναίτιον Διάκριτον Λυσίστρατον Χαιρέ-
68 δημον· οὗτοι μὲν ἔφυγον δι' ἐμέ, ὁμολογῶ· ἐσώθη
δέ γε ὁ πατήρ, ὁ κηδεστής, ἀνεψιοὶ τρεῖς, τῶν ἄλλων
συγγενῶν ἑπτά, μέλλοντες ἀποθανεῖσθαι ἀδίκως·
οἳ νῦν ὁρῶσι τοῦ ἡλίου τὸ φῶς δι' ἐμέ, καὶ αὐτοὶ
ὁμολογοῦσιν· ὁ δὲ τὴν πόλιν ὅλην συνταράξας καὶ
εἰς τοὺς ἐσχάτους κινδύνους καταστήσας ἐξηλέγχθη,

65. Ἀμίαντον τὸν AB Bk. (ci. Valck.): Ἀμίαν τοῦτον. — verba ἐξ Αἰγίνης (quae tum Atheniensium erat) sollicitarunt immerito Naber et Kö. (τὸν Αἰγιλιᾶ, τὸν ἐξ Αἰγιλίας).

66. ἀπῇτε W.: ἀπίητε ABLZ; ἀπῄειτε v.

67. vv. τῆς μὲν τύχης — ἐλεηθείην laudat Prisc. XVIII c. 25. — δι' ἐμὲ addidi: an potius ἐπ' (ἐν) ἐμοὶ? τότε add. W. — γενομένων Bait. Turr.: γινομένων. — (ἂν) ἀνὴρ ci. R. — ἐκείνῳ del. W.; ἐκείνων hab. pr. A[d].

68. ἑπτά] cf. quae adnotata sunt ad § 47. — ἐξηλέγχη AB.

ὑμεῖς δὲ ἀπηλλάγητε μεγάλων φόβων καὶ τῶν εἰς
ἀλλήλους ὑποψιῶν. καὶ ταῦτ' εἰ ἀληθῆ λέγω, ὦ 69
ἄνδρες, ἀναμιμνήσκεσθε, καὶ οἱ εἰδότες διδάσκετε
τοὺς ἄλλους. Σὺ δέ μοι αὐτοὺς κάλει τοὺς λυθέντας
δι' ἐμέ· ἄριστα γὰρ ἂν εἰδότες τὰ γενόμενα λέγοιεν
εἰς τούτους. Οὑτωσὶ δὲ ἔχει, ὦ ἄνδρες· μέχρι τού-
του ἀναβήσονται καὶ λέξουσιν ὑμῖν, ἕως ἂν ἀκροᾶσθαι
βούλησθε, ἔπειτα δ' ἐγὼ περὶ τῶν ἄλλων | ἀπολο-
γήσομαι.

(ΜΑΡΤΥΡΕΣ.)

Περὶ μὲν οὖν τῶν τότε γενομένων ἀκηκόατε 70
πάντα καὶ ἀπολελόγηταί μοι ἱκανῶς, ὥς γ' ἐμαυτὸν
πείθω· εἰ δέ τίς τι ὑμῶν ποθεῖ ἢ νομίζει τι μὴ ἱκα-
νῶς εἰρῆσθαι ἢ παραλέλοιπά τι, ἀναστὰς ὑπομνη-
σάτω, καὶ ἀπολογήσομαι καὶ πρὸς τοῦτο· περὶ δὲ
τῶν νόμων ἤδη ὑμᾶς διδάξω. Κηφίσιος γὰρ οὑτοσὶ 71
ἐνέδειξε μέν με κατὰ τὸν νόμον τὸν κείμενον, τὴν
δὲ κατηγορίαν ποιεῖται κατὰ ψήφισμα πρότερον γε-
νόμενον, ὃ εἶπεν Ἰσοτιμίδης, οὗ ἐμοὶ προσήκει οὐδέν.
ὁ μὲν γὰρ εἶπεν εἴργεσθαι τῶν ἱερῶν τοὺς ἀσεβή-
σαντας καὶ ὁμολογήσαντας, ἐμοὶ δὲ τούτων οὐδέτερα
πεποίηται· οὔτε ἠσέβηται οὔτε ὡμολόγηται. ὡς δὲ 72
καὶ τοῦτο τὸ ψήφισμα λέλυται καὶ ἄκυρόν ἐστιν,
ἐγὼ ὑμᾶς διδάξω. καίτοιγε τοιαύτην ἀπολογίαν περὶ
αὐτοῦ ποιήσομαι, ὅπου μὴ πείθων μὲν ὑμᾶς αὐτὸς
ζημιώσομαι, πείσας δὲ ὑπὲρ τῶν ἐχθρῶν ἀπολελογη-

69. οἱ εἰδότες cum R. Turr.: οἱ ἰδόντες. — ἂν εἰδό.-τες A^d. — ΜΑΡΤΥΡΕΣ add. Markl. ap. Dobs. Turr.
70. εἰ δ' ἔτι τίς τι mal. S.
71. Ἰσοτιμίδης οὗ R. (similiter etiam Canter. et Valck.): εἰς ὅτι μηδ' ἴσον ABL, εἰς ὅτι μὴ ἴσον v.

73 μένος ἔσομαι. ἀλλὰ γὰρ τἀληθῆ εἰρήσεται. ἐπεὶ γὰρ
αἱ νῆες διεφθάρησαν καὶ ἡ πολιορκία ἐγένετο, ἐβου-
λεύσασθε περὶ ὁμονοίας, καὶ ἔδοξεν ὑμῖν τοὺς ἀτί-
μους ἐπιτίμους ποιῆσαι, καὶ εἶπε τὴν γνώμην Πα-
τροκλείδης. οἱ δὲ ἄτιμοι τίνες ἦσαν, καὶ τίνα τρό-
πον ἕκαστοι; ἐγὼ ὑμᾶς διδάξω. οἱ μὲν ἀργύριον
ὀφείλοντες τῷ δημοσίῳ, ὁπόσοι εὐθύνας ὦφλον
ἄρξαντες ἀρχάς, ἢ ἐξούλας ἢ γραφὰς ἢ ἐπιβολὰς
ὦφλον, ἢ ὠνὰς πριάμενοι ἐκ τοῦ δημοσίου μὴ κατέ-
βαλον τὰ χρήματα, ἢ ἐγγύας ἠγγυήσαντο πρὸς τὸ
δημόσιον· τούτοις ἡ μὲν ἔκτισις ἦν ἐπὶ τῆς ἐνάτης
πρυτανείας, εἰ δὲ μή, διπλάσιον ὀφείλειν καὶ τὰ
74 κτήματα αὐτῶν πεπρᾶσθαι. εἷς μὲν τρόπος οὗτος
ἀτιμίας ἦν, ἕτερος δὲ ὧν τὰ μὲν σώματα ἄτιμα ἦν,
τὴν δ᾽ οὐσίαν εἶχον καὶ ἐκέκτηντο· οὗτοι δ᾽ αὖ
ἦσαν ὁπόσοι κλοπῆς ἢ δώρων ὄφλοιεν· τούτους ἔδει
καὶ αὐτοὺς καὶ τοὺς ἐκ τούτων ἀτίμους εἶναι· καὶ
ὁπόσοι λίποιεν τὴν τάξιν ἢ ἀστρατείας ἢ δειλίας ἢ
ἀναυμαχίου ὄφλοιεν ἢ τὴν ἀσπίδα ἀποβάλοιεν, ἢ
τρὶς ψευδομαρτυριῶν ἢ τρὶς ψευδοκλητείας ὄφλοιεν,
ἢ τοὺς γονέας κακῶς ποιοῖεν· οὗτοι πάντες ἄτιμοι
75 ἦσαν τὰ σώματα, τὰ δὲ χρήματα εἶχον. ἄλλοι αὖ
κατὰ προστάξεις, οἵτινες οὐ παντάπασιν ἄτιμοι ἦσαν,
ἀλλὰ μέρος τι [αὐτῶν], οἷον οἱ στρατιῶται, οἷς, ὅτι

73. *εὐθύνας ὦφλον* cum R. Sl. Turr.: *εὐθ. ὤφειλον.* — *ἄρξαντας* ABLZ. — *ἐπιβολὰς* Steph.: *ἐπιβουλάς.* — *ἠγγυήσαντο* St.: *ἐγγυήσαντο.* — *ἐνάτης* BLZ et corr. A (Bk.): *ἐννάτης.*

74. *ὧν μὲν τὰ* libri (Turr.). — *εἶχον* ci. Bk. (Turr.): *ἔσχον.* — *αὖ* AB Bk.: *ἄν.* — vv. *τούτους ἔδει — εἶναι*] affert Suid. s. v. *ἀναυμαχίου*, qui habet *οὕτω δὲ δεῖ*, unde *τούτους δ᾽ ἔδει* Turr. — *ἀναυμαχίου* Suid. l. c. et Taylor. (Bk.): *ναυμαχίου* A, *ναυμαχίας* v. — *ψευδοκλητείας* S. Turr.: *ψευδοκλητίας.* „addere potuit *ἢ τρὶς παρανόμων* et forsan addidit.“ *Dobr.*

ἐπέμειναν ἐπὶ τῶν τυράννων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα ἦν ἅπερ τοῖς ἄλλοις πολίταις, εἰπεῖν δ' ἐν τῷ δήμῳ οὐκ ἐξῆν αὐτοῖς οὐδὲ βουλεῦσαι. τούτων ἦσαν οὗτοι ἄτιμοι· αὕτη γὰρ ἦν τούτοις πρόσταξις. ἑτέ- 76
ροις οὐκ ἦν γράψασθαι, τοῖς δὲ ἐνδεῖξαι, τοῖς δὲ μὴ ἀναπλεῦσαι εἰς Ἑλλήσποντον, ἄλλοις δ' εἰς Ἰωνίαν· τοῖς δ' εἰς τὴν ἀγορὰν μὴ εἰσιέναι πρόσταξις ἦν. ταῦτ' οὖν ἐψηφίσασθε ἐξαλεῖψαι πάντα τὰ ψηφίσματα, καὶ αὐτὰ καὶ εἴ πού τι ἀντίγραφον ἦν, καὶ πίστιν ἀλλήλοις περὶ ὁμονοίας δοῦναι ἐν ἀκροπόλει. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα τὸ Πατροκλείδου, καθ' ὃ ταῦτα ἐγένετο.

ΨΗΦΙΣΜΑ. Πατροκλείδης εἶπεν, Ἐπειδὴ ἐψηφίσαντο 77
Ἀθηναῖοι τὴν ἄδειαν περὶ τῶν ὀφειλόντων, ὥστε λέγειν ἐξεῖναι καὶ ἐπιψηφίζειν, ψηφίσασθαι τὸν δῆμον ταὐτὰ ἅπερ ὅτε ἦν τὰ Μηδικά, καὶ συνήνεγκεν Ἀθηναίοις ἐπὶ τὸ ἄμεινον. περὶ δὲ τῶν ἐπιγεγραμμένων εἰς τοὺς πράκτορας ἢ τοὺς ταμίας τῆς θεοῦ καὶ τῶν ἄλλων θεῶν ἢ τὸν βασιλέα, ἢ εἴ τις μὴ (ὀρθῶς) ἐξεγράφη, μέχρι τῆς ἐξελθούσης βουλῆς ἐφ' ἧς Καλλίας ἦρχεν, ὅσοι ἄτιμοι 78
ἦσαν ἢ ὀφείλοντες, καὶ ὅσων εὔθυναί τινές εἰσι κατεγνωσμέναι ἐν τοῖς λογιστηρίοις ὑπὸ τῶν εὐθύνων ἢ τῶν παρέδρων, ἢ μήπω εἰσηγμέναι εἰς τὸ δικαστήριον γραφαί τινές εἰσι περὶ τῶν εὐθυνῶν, ἢ προστάξεις ἢ ἐγγύαι

75. *ὑπέμειναν* L pr. — *τυράννων*] immo cum Dobr. *τετρακοσίων*, sicut est § 78 al. — *δ' ἐν*] *δὲ* ABLZ.

77. *ΨΗΦΙΣΜΑ* in mg. add. A[d]. — (*τῶν ἀτίμων καὶ*) *τῶν ὀφειλόντων* S. coll. Dem. Timocr. 46. — *ταὐτὰ* Turr.: *ταῦτα*. — *ἐγγεγραμμένων* Emp. — *ἢ* ante *εἴ τις* del. Emp.; contra *ἐπεγράφη* pro *ἐξεγράφη* ci. S. — Comma post *ἐξεγρ.* ego addidi.

78. *ὅσον* AB. — *λογιστηρίοις*] cf. Harp.: *λογ. δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος — — καὶ Ἀνδ. ἐν τῳ π. τ. μυστ. δηλοῦσιν*. — *προέδρων* pr. A. — *εὐθυνῶν* AL Bk.: *εὐθύνων*. — *προστάξεις* sanum non puto: de publicanis sermo fuerit deque eorum *προσκαταβλήμασι* (cf. § 73). — vv. *ἢ ἐξ Ἀρείου π.* — *τυράννοις* e Solonis lege (*ἄξων ιγ' νόμ.*

τινές εἰσι κατεγνωσμέναι εἰς τὸν αὐτὸν τοῦτον χρόνον· καὶ ὅσα ὀνόματα τῶν τετρακοσίων τινὸς ἐγγέγραπται, ἢ ἄλλο τι περὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πραχθέντων ἐστί που γεγραμμένον· πλὴν ὁπόσα ἐν στήλαις γέγραπται τῶν μὴ ἐνθάδε μεινάντων, ἢ ἐξ Ἀρείου πάγου ἢ τῶν ἐφετῶν ἢ ἐκ πρυτανείου ἢ Δελφινίου ἐδικάσθη ἢ ὑπὸ τῶν βασι-
11 *λέων, ἢ ἐπὶ φόνῳ | τίς ἐστι φυγή, ἢ θάνατος κατε-*
79 *γνώσθη, ἢ σφαγεῦσιν ἢ τυράννοις· τὰ δὲ ἄλλα πάντα ἐξαλεῖψαι τοὺς πράκτορας καὶ τὴν βουλὴν κατὰ τὰ εἰρημένα πανταχόθεν, ὅπου τι ἔστιν ἐν τῷ δημοσίῳ, καὶ εἰ ἀντίγραφόν που ἔστι, παρέχειν τοὺς θεσμοθέτας καὶ τὰς ἄλλας ἀρχάς. ποιεῖν δὲ ταῦτα τριῶν ἡμερῶν, ἐπειδὰν δόξῃ τῷ δήμῳ. ἃ δ' εἴρηται ἐξαλεῖψαι, μὴ κεκτῆσθαι ἰδίᾳ μηδενὶ ἐξεῖναι μηδὲ μνησικακῆσαι μηδέποτε· εἰ δὲ μή, ἔνοχον εἶναι τὸν παραβαίνοντα ταῦτα ἐν τοῖς αὐτοῖς ἐν οἷσπερ οἱ ἐξ Ἀρείου πάγου φεύγοντες, ὅπως ἂν ὡς πιστότατα ἔχοι Ἀθηναίοις καὶ νῦν καὶ εἰς τὸν λοιπὸν χρόνον.*

80 *Κατὰ μὲν τὸ ψήφισμα τουτὶ τοὺς ἀτίμους ἐπιτίμους ἐποιήσατε· τοὺς δὲ φεύγοντας οὔτε Πατροκλείδης εἶπε κατιέναι οὔθ' ὑμεῖς ἐψηφίσασθε. ἐπεὶ δ' αἱ σπονδαὶ πρὸς Λακεδαιμονίους ἐγένοντο, καὶ τὰ τείχη καθείλετε, καὶ τοὺς φεύγοντας κατεδέξασθε, καὶ κατέστησαν οἱ τριάκοντα, καὶ μετὰ ταῦτα Φυλή τε κατελήφθη Μουνυχίαν τε κατέλαβον, ἐγένετο (θ') ὑμῖν ὧν ἐγὼ οὐδὲν δέομαι μεμνῆσθαι οὐδ' ανα-*
81 *μιμνήσκειν ὑμᾶς τῶν γεγενημένων κακῶν. ἐπειδὴ*

η', v. Plut. Sol. XIX) sumpsit Patroclides. — *ἢ ἐκ πρυτανείου ἢ Δελφινίου* (Delph. om. Plut.) del. Platner, def. Scheibe (*ἢ — ἢ* entweder — oder). — *ἢ* ante *ὑπὸ τῶν β.* (om. *ἢ* Plut.) del. Luz. Sl. Boeckh. Schi. (mal. etiam Turr.); def. Bgk. ep. ad Schi. p. 125 et alia ratione Scheibe. — *ἢ θάνατος κατεγνώσθη* del. Scheibe. — *ἢ σφαγαῖσιν ἢ ἐπὶ τυραννίδι* Plut.

79. *κατὰ τὰ εἰρ.* Sl. Bk.: *καὶ τὰ εἰρ.* v. (Turr.); *βουλήν, καὶ τὰ εὑρημένα* Scheibe. — malim *εἴ τι ἀντίγρ.* — *ἔχει* A.

80. *δ' αἱ* A (fort. corr.) Bk.: *δὲ*. — *θ'* addi mal. R.

*δ' ἐπανήλθετε ἐκ Πειραιέως, γενόμενον ἐφ' ὑμῖν
τιμωρεῖσθαι ἔγνωτε ἐᾶν τὰ γεγενημένα, καὶ περὶ
πλείονος ἐποιήσασθε σώζειν τὴν πόλιν ἢ τὰς ἰδίας
τιμωρίας, καὶ ἔδοξε μὴ μνησικακεῖν ἀλλήλοις τῶν
γεγενημένων. δόξαντα δὲ ὑμῖν ταῦτα εἵλεσθε ἄνδρας
εἴκοσι· τούτους δὲ ἐπιμελεῖσθαι τῆς πόλεως, ἕως αὖ
οἱ νόμοι τεθεῖεν· τέως δὲ χρῆσθαι τοῖς Σόλωνος
νόμοις καὶ τοῖς Δράκοντος θεσμοῖς. ἐπειδὴ δὲ* 82
*βουλήν τε ἀπεκληρώσατε νομοθέτας τε εἵλεσθε,
εὕρισκον τῶν νόμων τῶν τε Σόλωνος καὶ τῶν Δρά-
κοντος πολλοὺς ὄντας οἷς πολλοὶ τῶν πολιτῶν ἔνοχοι
ἦσαν τῶν πρότερον ἕνεκα γενομένων. ἐκκλησίαν
ποιήσαντες ἐβουλεύσασθε περὶ αὐτῶν, καὶ ἐψηφί-
σασθε, δοκιμάσαντες πάντας τοὺς νόμους, εἶτ' ἀνα-
γράψαι ἐν τῇ στοᾷ τούτους τῶν νόμων οἳ ἂν δοκι-
μασθῶσι. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα.*

ΨΗΦΙΣΜΑ. Ἔδοξε τῷ δήμῳ, Τισαμενὸς εἶπε, πολι- 83
*τεύεσθαι Ἀθηναίους κατὰ τὰ πάτρια, νόμοις δὲ χρῆσθαι
τοῖς Σόλωνος, καὶ μέτροις καὶ σταθμοῖς, χρῆσθαι δὲ
καὶ τοῖς Δράκοντος θεσμοῖς, οἷσπερ ἐχρώμεθα ἐν τῷ
πρόσθεν χρόνῳ. ὁπόσων δ' ἂν προσδέῃ, οἵδε ᾑρημένοι
νομοθέται ὑπὸ τῆς βουλῆς ἀναγράφοντες ἐν σανίσιν ἐκτι-
θέντων πρὸς τοὺς ἐπωνύμους σκοπεῖν τῷ βουλομένῳ,*

81. *ἕως αὖ* W.: *ἕως ἂν* (*ἂν* del. Dobr.).

82. *εὑρίσκοντες* ci. R. Bait. (Turr.): *εὕρισκον γὰρ* Bgk.; *εὕρισκόν τε* Sl. — *γενομένων* auct. R. Turr.: *γινομένων* (*γεγενημένων* Bake). — *δοκιμάσαντας* Dobr. Turr. coll. § 89. — *τοὺς ἀνόμους* AB (num fuit *τοὺς ἀρχαίους νόμους?*)

83. *ΨΗΦΙΣΜΑ* om. ΛLZ. — *Τισάμενος* ABLZ. — *προςδέῃ* Bk.: *προςδέοι.* — *οἵδε*] *οἱ δέκα* Sl., *οἱ* vel *οἱ ΔΕ* (*δεκάκις πέντε*) = *πεντήκοντα* ci. R. Vel *οἱ δὲ* scribendum et lacunam ante hoc voc. esse statuendum est. — *ἀναγράφοντες* Bk.: *ἀναγράφοντας* AB; *ἀναγράφονται* LZ. *καὶ* ante *ἐκτ.* add. BLZ Ald., in qua *ἀναγραφόντων* ex. corr. scriptum est. — „aut *πρὸ τῶν ἐπωνύμων* aut *πρὸς τοῖς ἐπωνύμοις*" R. Ap. Dem. 20, 94; 24, 18. 23 est *πρόσθε τῶν ἐπωνύμων.*

84 καὶ παραδιδόντων ταῖς ἀρχαῖς ἐν τῷδε τῷ μηνί. τοὺς δὲ παραδιδομένους νόμους δοκιμασάτω πρότερον ἡ βουλὴ οἱ πεντακόσιοι καὶ οἱ νομοθέται, οὓς οἱ δημόται εἵλοντο, ἐπειδὴ ὀμωμόκασιν. ἐξεῖναι δὲ καὶ ἰδιώτῃ τῷ βουλομένῳ, εἰσιόντι εἰς τὴν βουλὴν συμβουλεύειν ὅ τι ἂν ἀγαθὸν ἔχῃ περὶ τῶν νόμων. ἐπειδὰν δὲ τεθῶσιν οἱ νόμοι, ἐπιμελείσθω ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τῶν νόμων, ὅπως ἂν αἱ ἀρχαὶ τοῖς κειμένοις νόμοις χρῶνται. τοὺς δὲ κυρουμένους τῶν νόμων ἀναγράφειν εἰς τὸν τοῖχον, ἵνα περ πρότερον ἀνεγράφησαν, σκοπεῖν τῷ βουλομένῳ.

85 Ἐδοκιμάσθησαν μὲν οὖν οἱ νόμοι, ὦ ἄνδρες, κατὰ τὸ ψήφισμα τουτί, τοὺς δὲ κυρωθέντας ἀνέγραψαν εἰς τὴν στοάν. ἐπειδὴ δ' ἀνεγράφησαν, ἐθέμεθα νόμον, ᾧ πάντες χρῆσθε. Καί μοι ἀνάγνωθι τὸν νόμον.

ΝΟΜΟΣ. Ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ περὶ ἑνός.

Ἆρά γε ἔστιν ἐνταυθοῖ ὅ τι περιελείπετο περὶ
86 ὅτου οἷόν τε ἢ ἀρχὴν εἰσάγειν ἢ ὑμῶν πρᾶξαί τινι, ἀλλ' ἢ κατὰ τοὺς ἀναγεγραμμένους νόμους; ὅπου οὖν ἀγράφῳ νόμῳ οὐκ ἔξεστι χρήσασθαι, ἦ που ἀγράφῳ γε ψηφίσματι παντάπασιν· οὐ δεῖ [γε χρήσασθαι]. ἐπειδὴ τοίνυν ἑωρῶμεν ὅτι πολλοῖς τῶν πολιτῶν εἶεν συμφοραί, τοῖς μὲν κατὰ νόμους, τοῖς δὲ κατὰ ψηφίσματα τὰ πρότερον γενόμενα, τουτουσὶ τοὺς νόμους ἐθέμεθα, αὐτῶν εἵνεκα τῶν νυνὶ

84. οἱ πεντακ. καὶ οἱ νομ. scripsi: καὶ οἱ νομ. οἱ πεντ. V. Bakium Schol. Hyp. V p. 246. — δημῶται A. — ἐπειδὰν ὀμωμόκωσιν Dobr. — συμβουλεύειν AB Bk.: βουλεύειν.

85. ἐπειδὴ δ' S. Turr.: ἐπειδὴ codd.; ἐπεὶ δὲ v. — v. καί μοι — χρῆσθαι om. Ald.

86. ἔστιν ἐνταυθοῖ ὅτι scripsi cum Dobr. coll. § 89: ἔστι τοῦτο ὅτι. — περιελείπετο cum R. Bk.: περιελείπτο M, περιέλειπτο v. — ἀναγεγραμμένους AB Bk. (ci. R.): ἄνω γεγραμμένους. — ἀγράφῳ νόμῳ] ἂν ἀγράφῳ ν. ABL, ἀναγράφῳ ν. Z. — ἤπου Bk.: ἤπου ἄν. — δεῖ γε χρήσασθαι del. Hi. — εἵνεκα AB Bk.: ἕνεκα. —

ποιουμένων, ἵνα τούτων μηδὲν γίγνηται μηδὲ ἐξῇ συκοφαντεῖν μηδενί. Καί μοι ἀνάγνωθι τοὺς νόμους.

ΝΟΜΟΙ. Ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ 87
περὶ ἑνός. ψήφισμα δὲ μηδὲν (μήτε) βουλῆς | *μήτε* 12
δήμου νόμου κυριώτερον εἶναι. μηδὲ ἐπ᾽ ἀνδρὶ νόμον ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις, ἐὰν μὴ ἑξακισχιλίοις δόξῃ κρύβδην ψηφιζομένοις.

Τί οὖν ἦν ἐπίλοιπον; οὑτοσὶ ὁ νόμος. Καί μοι ἀνάγνωθι τοῦτον.

ΝΟΜΟΣ. Τὰς δὲ δίκας καὶ τὰς διαίτας κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατουμένῃ τῇ πόλει ἐγένοντο. τοῖς δὲ νόμοις χρῆσθαι ἀπ᾽ Εὐκλείδου ἄρχοντος.

Τὰς μὲν δίκας ὦ ἄνδρες καὶ τὰς διαίτας ἐποιή- 88
σατε κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατουμένῃ τῇ πόλει ἐγένοντο, ὅπως μήτε χρεῶν ἀποκοπαὶ εἶεν μήτε δίκαι ἀνάδικοι γίγνοιντο, ἀλλὰ τῶν ἰδίων συμβολαίων αἱ πράξεις (κύριαι) εἶεν· τῶν δὲ δημοσίων (ἐφ᾽) ὁπόσοις ἢ γραφαί εἰσιν ἢ φάσεις ἢ ἐνδείξεις ἢ ἀπαγωγαί, τούτων ἕνεκα τοῖς νόμοις ἐψηφίσασθε χρῆσθαι ἀπ᾽ Εὐκλείδου ἄρχοντος. ὁπότ᾽ οὖν ἔδοξεν 89
ὑμῖν δοκιμάσαι μὲν τοὺς νόμους, δοκιμάσαντας δὲ ἀναγράψαι, ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι

γίνηται ABLZ Bk.: *γένηται.*
87. *ΝΟΜΟΙ* ZM Turr.: (ci. R.) *ΝΟΜΟΣ*, quod in mg. add. A^d^. — *μήτε* add. Turr. coll. § 89 et Dem. Arist. § 87. — *μηδὲ νόμον ἐπ᾽ ἀνδρὶ* Dem. Arist. 86; c. Steph. β 12; *μηδὲ ν. ἐξ. ἐπ᾽ ἀνδρὶ θεῖναι* c. Tim. 59. — *Ἀθηναίοις τιθῇ, ἐὰν μὴ ψηφισαμένων μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ κρ. ψηφ.* Dem. Tim. l. c. — *ΝΟΜΟΣ* om. ABLZ. — *τὰς μὲν δίκας* fort. legendum esse dicit S.; cf. § 88. — hanc legem paullo aliter exhibet Dem. Tim. 56.
88. *τὰς μὲν* AB Bk.: *τὰς δὲ.* — *τῇ* ante *πόλει* om. A^d^. — *κύριαι* addidi; an *μένοιεν* pro *εἶεν*? *βέβαιαι αἱ πρ.* W. — *ἢ γραφαί* A Bk. (ci. R): *αἱ γραφαί.*
89. *δοκιμάσαντας* A Kl. Turr.: *δοκιμάσαντες.* —

μηδὲ περὶ ἑνός, ψήφισμα δὲ (μηδὲν) μήτε βουλῆς
μήτε δήμου (νόμου) κυριώτερον εἶναι, μηδ' ἐπ'
ἀνδρὶ νόμον (ἐξεῖναι) τιθέναι ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ
πᾶσιν Ἀθηναίοις, τοῖς δὲ νόμοις τοῖς κειμένοις
χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος, ἐνταυθοῖ ἔστιν ὅ
τι ὑπολείπεται ἢ μεῖζον ἢ ἔλαττον τῶν γενομένων
πρότερον ψηφισμάτων, πρὶν Εὐκλείδην ἄρξαι, ὅπως
κύριον ἔσται; οὐκ οἶμαι ἔγωγε, ἄνδρες. σκοπεῖτε
δὲ καὶ αὐτοί.

90 Φέρε δὴ τοίνυν, οἱ ὅρκοι ὑμῖν πῶς ἔχουσιν; ὁ
μὲν κοινὸς τῇ πόλει ἁπάσῃ, ὃν ὀμωμόκατε πάντες
μετὰ τὰς διαλλαγάς, „καὶ οὐ μνησικακήσω τῶν
πολιτῶν οὐδενὶ πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα·
οὐδὲ τούτων ὃς ἂν ἐθέλῃ εὐθύνας διδόναι τῆς ἀρχῆς
ἧς ἦρξεν.“ ὅπου τοίνυν αὐτοῖς τοῖς τριάκοντα
ὤμνυτε μὴ μνησικακήσειν, τοῖς μεγίστων κακῶν
αἰτίοις, εἰ διδοῖεν εὐθύνας, ἦ που σχολῇ τῶν γε
91 ἄλλων πολιτῶν τινι ἠξιοῦτε μνησικακεῖν. ἡ δὲ βουλὴ
αὖ ἡ ἀεὶ βουλεύουσα τί ὄμνυσι; „καὶ οὐ δέξομαι
ἔνδειξιν οὐδὲ ἀπαγωγὴν ἕνεκα τῶν πρότερον γεγε-
νημένων, πλὴν τῶν φυγόντων.“ ὑμεῖς δ' αὖ, ὦ
Ἀθηναῖοι, τί ὀμόσαντες δικάζετε; „καὶ οὐ μνησικα-
κήσω, οὐδὲ ἄλλῳ πείσομαι, ψηφιοῦμαι δὲ κατὰ τοὺς

μηδὲν addidi e § 87. — νόμου cum R. add. Bk. e § 87. — ἐξεῖναι suadente S. (qui etiam θεῖναι mavult) addidi e § 87. — γενομένων Turr.: γινομένων A^d M, γιγνομένων v. — nonne ὦ ἄνδρες?

90. καὶ τῶν δέκα post ἕνδεκα cum Vales. et Schneider. add. Turr. — ἐθέλῃ A Bk.: ἐθέλει Z, ἐθέλοι v. — ὅποι AB. — τοῖς ante τριάκοντα add. AB Bk. — ὤμνυνται A^d M. — μεγίστων R.: μεγίστοις. — τῶν γε Bk. cum ABLZ Ald.: γε τῶν Steph.

91. αὖ ἡ cum R. et Boeckh. Bk.: αὕτη. — πρότερον Steph.: προτέρων. — φυγόντων S. Turr.: φευγόντων. — τί] ὅτι ABLZ. — πείσομαι] cf. Dem. Tim. § 149. —

κειμένους νόμους.“ ἃ χρὴ σκοπεῖν, εἰ δοκῶ ὀρθῶς
ὑμῖν λέγειν ὡς ὑπὲρ ὑμῶν λέγω καὶ τῶν νόμων.

Σκέψασθε τοίνυν ὦ ἄνδρες [καὶ τοὺς νόμους] 92
καὶ τοὺς κατηγόρους, τί αὐτοῖς ὑπάρχον ἑτέρων
κατηγοροῦσι. Κηφίσιος μὲν οὑτοσὶ πριάμενος ὠνὴν
ἐκ τοῦ δημοσίου, τὰς ἐκ ταύτης ἐπικαρπίας τῶν ἐν
τῇ γῇ γεωργούντων ἐνενήκοντα μνᾶς ἐκλέξας, οὐ
κατέβαλε τῇ πόλει καὶ ἔφυγεν· εἰ γὰρ ἦλθεν, ἐδέδετ'
ἂν ἐν τῷ ξύλῳ. ὁ γὰρ νόμος οὕτως εἶχε, κυρίαν 93
εἶναι τὴν βουλήν, ὃς ἂν πριάμενος τέλος μὴ κατα-
βάλῃ, δεῖν εἰς τὸ ξύλον. οὗτος τοίνυν, ὅτι τοῖς
νόμοις ἐψηφίσασθε ἀπ' Εὐκλείδου ἄρχοντος χρῆσθαι,
ἀξιοῖ ἃ ἔχει ὑμῶν ἐκλέξας μὴ ἀποδοῦναι, καὶ νῦν
γεγένηται ἀντὶ μὲν φυγάδος πολίτης, ἀντὶ δὲ ἀτίμου
συκοφάντης, ὅτι τοῖς νόμοις τοῖς νῦν κειμένοις
χρῆσθε. Μέλητος δ' αὖ οὑτοσὶ ἀπήγαγεν ἐπὶ τῶν 94
τριάκοντα Λέοντα, ὡς ὑμεῖς ἅπαντες ἴστε, καὶ
ἀπέθανεν ἐκεῖνος ἄκριτος· καίτοι οὗτος ὁ νόμος
καὶ πρότερον ἦν (καὶ) ὡς καλῶς ἔχων καὶ νῦν ἔστι,
καὶ χρῆσθε αὐτῷ, τὸν βουλεύσαντα ἐν τῷ αὐτῷ
ἐνέχεσθαι καὶ τὸν τῇ χειρὶ ἐργασάμενον. Μέλητον
τοίνυν τοῖς παισὶ τοῖς τοῦ Λέοντος οὐκ ἔστι φόνου
διώκειν, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδου
ἄρχοντος, ἐπεὶ ὥς γε οὐκ ἀπήγαγεν, οὐδ' αὐτὸς
ἀντιλέγει. Ἐπιχάρης δ' οὗτος, ὁ πάντων πονηρότα- 95
τος καὶ βουλόμενος εἶναι τοιοῦτος, ὁ μνησικακῶν
αὐτὸς αὑτῷ, — οὗτος γὰρ ἐβούλευεν ἐπὶ τῶν τριά-

ἡμῶν A^{d}.
92. *καὶ τοὺς νόμους* del. vol. R. W.; *κατὰ τ. ν.* Luzac. — *ὑπαρχόντων* v. ante Bk., qui *ὑπάρχον τῶν*; om. *τῶν* Emp. Turr. — *ἐνενήκοντα* LZ Bk.: *ἐννενήκοντα.*
93. *τὴν βουλήν* cum Steph. Bk.: *τήν τε βουλήν.* cf. autem Dem. Tim. § 144. — *ἐψηφίσασθε ἀπ'* cum R. Bk.: *ἀπεψηφ. ἀπ'.*
94. *καίτοι* Sl.: *καί.* — (*καὶ*) *ὡς* Bait. Turr.

κοντα· ὁ δὲ νόμος τί κελεύει, ὃς ἐν τῇ στήλῃ ἔμπροσθέν ἐστι τοῦ βουλευτηρίου; „ὃς ἂν ἄρξῃ ἐν τῇ πόλει τῆς δημοκρατίας καταλυθείσης, νηποινεὶ τεθνάναι, καὶ τὸν ἀποκτείναντα ὅσιον εἶναι καὶ τὰ χρήματα ἔχειν τοῦ ἀποθανόντος.“ ἄλλο τι οὖν, ὦ Ἐπίχαρες, ἢ νῦν ὁ ἀποκτείνας σε καθαρὸς τὰς χεῖρας
96 ἔσται, κατά | γε τὸν Σόλωνος νόμον; Καί μοι ἀνά-
13 γνωθι τὸν νόμον τὸν ἐκ τῆς στήλης.

ΝΟΜΟΣ. Ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ. Αἰαντὶς ἐπρυτάνευε, Κλεογένης ἐγραμμάτευε, Βοηθὸς ἐπεστάτει. τάδε Δημόφαντος συνέγραψεν. ἄρχει χρόνος τοῦδε τοῦ ψηφίσματος ἡ βουλὴ οἱ πεντακόσιοι (οἱ) λαχόντες τῷ κυάμῳ, ὅτε Κλεογένης πρῶτος ἐγραμμάτευεν. Ἐάν τις δημοκρατίαν καταλύῃ τὴν Ἀθήνησιν, ἢ ἀρχήν τινα ἄρχῃ καταλελυμένης τῆς δημοκρατίας, πολέμιος ἔστω Ἀθηναίων καὶ νηποινεὶ τεθνάτω, καὶ τὰ χρήματα αὐτοῦ δημόσια ἔστω, καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον· ὁ δὲ ἀποκτείνας τὸν ταῦτα ποιήσαντα καὶ ὁ συμβουλεύσας ὅσιος ἔστω καὶ εὐαγής.
97 ὀμόσαι δ' Ἀθηναίους ἅπαντας καθ' ἱερῶν τελείων, κατὰ φυλὰς καὶ κατὰ δήμους, ἀποκτείνειν τὸν ταῦτα ποιήσαντα. ὁ δὲ ὅρκος ἔστω ὅδε· „κτενῶ καὶ λόγῳ καὶ ἔργῳ καὶ ψήφῳ καὶ τῇ ἐμαυτοῦ χειρί, ἂν δυνατὸς ὦ, ὃς ἂν καταλύσῃ τὴν δημοκρατίαν τὴν Ἀθήνησι, καὶ ἐάν τις ἄρξῃ τινὰ ἀρχὴν καταλελυμένης τῆς δημοκρατίας τὸ λοιπόν,

95. ὁ δὲ νόμος] plebiscitum hoc adhibetur etiam a Lycurgo § 126 (ἡ ἐν τῷ βουλευτηρίῳ στήλη et § 127 τὸ ψήφ. τὸ Δημοφάντου); commemorat Demosthenes quoque (Lept. 159, ἡ Δημοφάντου στήλη). — νηποινεὶ restitui coll. Dem. Arist. 60 et tit. Amphipol. saec. IV (C. I. II 2008): νηποινί. — ἄλλο τι cum Cant. et R. Bk: ἀλλ' ὅτι. — Ἐπίχαρες Sl.: Ἐπιχάρης. — ἢ νῦν] εἰ νῦν ABLZ.

96. Αἰαντὶς AB Bk. (ci. Steph. et Scal.): ἐάν τις. — οἱ post πεντακόσιοι add. Bk. — καταλύει et ἄρχει ABLZ. — ἔστω cum Steph. Bk.: ἔσται. — νηποινεὶ scripsi: νηποινὶ. v. ad § 95.

97. καὶ λόγῳ καὶ ἔργῳ καὶ ψήφῳ καὶ add. S. Turr. coll. Lyc. § 127, delentes eadem verba (praeter unum καὶ) post ἀποκτείναντι. Similiter iam Luzac. — τινὰ ἀρχὴν cum R. Turr.: τὴν ἀρχήν. —

καὶ ἐάν τις τυραννεῖν ἐπαναστῇ ἢ τὸν τύραννον συγκαταστήσῃ. καὶ ἐάν τις ἄλλος ἀποκτείνῃ, ὅσιον αὐτὸν νομιῶ εἶναι καὶ πρὸς θεῶν καὶ δαιμόνων, ὡς πολέμιον κτείναντα τῶν Ἀθηναίων, καὶ τὰ κτήματα τοῦ ἀποθανόντος πάντα ἀποδόμενος ἀποδώσω τὰ ἡμίσεα τῷ ἀποκτείναντι, καὶ οὐκ ἀποστερήσω οὐδέν. ἐὰν δέ τις κτείνων 98
τινὰ τούτων ἀποθάνῃ ἢ ἐπιχειρῶν, εὖ ποιήσω αὐτόν τε καὶ τοὺς παῖδας τοὺς ἐκείνου καθάπερ Ἁρμόδιόν τε καὶ Ἀριστογείτονα καὶ τοὺς ἀπογόνους αὐτῶν. ὁπόσοι δὲ ὅρκοι ὀμώμονται Ἀθήνησιν ἢ ἐν τῷ στρατοπέδῳ ἢ ἄλλοθί που ἐναντίοι τῷ δήμῳ τῶν Ἀθηναίων, λύω καὶ ἀφίημι.“ ταῦτα δὲ ὀμοσάντων Ἀθηναῖοι πάντες καθ' ἱερῶν τελείων, τὸν νόμιμον ὅρκον, πρὸ Διονυσίων· καὶ ἐπεύχεσθαι εὐορκοῦντι μὲν εἶναι πολλὰ καὶ ἀγαθά, ἐπιορκοῦντι δ' ἐξώλη αὐτὸν εἶναι καὶ γένος.

Πότερον, ὦ συκοφάντα καὶ ἐπίτριπτον κίναδος, 99
κύριος ὁ νόμος ὅδ' ἐστὶν ἢ οὐ κύριος; διὰ τοῦτο δ' οἶμαι γεγένηται ἄκυρος, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος. καὶ σὺ ζῇς καὶ περιέρχῃ τὴν πόλιν ταύτην, οὐκ ἄξιος ὤν· ὃς ἐν δημοκρατίᾳ μὲν συκοφαντῶν ἔζης, ἐν ὀλιγαρχίᾳ δέ, ὡς μὴ ἀναγκασθείης τὰ χρήματα ἀποδοῦναι ὅσα συκοφαντῶν ἔλαβες, ἐδούλευες τοῖς τριάκοντα. εἶτα σὺ 100
περὶ ἑταιρείας ἐμοὶ μνείαν ποιῇ καὶ κακῶς τινας λέγεις; ὃς ἑνὶ μὲν οὐχ ἡταίρησας — καλῶς γὰρ ἄν σοι εἶχε —, πραττόμενος δ' οὐ πολὺ ἀργύριον τὸν βουλόμενον ἀνθρώπων, ὡς οὗτοι ἴσασιν, ἐπὶ τοῖς αἰσχίστοις ἔργοις ἔζης, καὶ ταῦτα οὕτω μοχθηρὸς ὢν τὴν ἰδέαν. ἀλλ' ὅμως οὗτος ἑτέρων ἐτόλμα

συγκαταστήσει A. — κτείναντα] κτείνοντα BLZ.
98. ἀποθάνοι ABLZ.
99. ἐπίτριπτον κίναδος est ap. Soph. Ai. 103. — (κατὰ) τὴν π. W.
100. ἑταιρείας] cf. Harp.: ἰδίως ἐπὶ τῆς ἑταιρήσεως τοὔνομα τέταχεν Ἀνδ. ἐν τῇ περὶ τ. μυστ. ἀπολογίᾳ. Immo ad hunc sensum Andoc. verbum detorquet, vulgari usu ab Epich. usurpatum. — ἑτέρων cum R. et Valck. Bk.: ἑταιρῶν. — malim τολμᾷ. —

κατηγορεῖν, ᾧ κατὰ τοὺς νόμους τοὺς ὑμετέρους
101 οὐδ' αὐτῷ ὑπὲρ αὐτοῦ ἔστιν ἀπολογεῖσθαι. ἀλλὰ
γὰρ ὦ ἄνδρες καθήμενος ἡνίκα μου κατηγόρει, βλέ-
πων εἰς αὐτὸν οὐδὲν ἄλλο ἢ ὑπὸ τῶν τριάκοντα
συνειλημμένος ἔδοξα κρίνεσθαι. εἰ γὰρ τότε ἠγωνι-
ζόμην, τίς ἄν μου κατηγόρει; οὐχ οὗτος ὑπῆρχεν,
εἰ μὴ ἐδίδουν ἀργύριον; καὶ γὰρ νῦν. ἀνέκρινε δ'
ἄν με τίς ἄλλος ἢ Χαρικλῆς, ἐρωτῶν, Εἰπέ μοι, ὦ
Ἀνδοκίδη, ἦλθες εἰς Δεκέλειαν, καὶ ἐπετείχισας
τῇ πατρίδι τῇ σεαυτοῦ; Οὐκ ἔγωγε. Τί δέ; ἔτεμες
τὴν χώραν, καὶ ἐλῄσω ἢ κατὰ γῆν ἢ κατὰ θάλατταν
τοὺς πολίτας τοὺς σεαυτοῦ; Οὐ δῆτα. Οὐδ' ἐναυ-
μάχησας ἐναντία τῇ πόλει, οὐδὲ συγκατέσκαψας
τὰ τείχη, οὐδὲ συγκατέλυσας τὸν δῆμον, οὐδὲ βίᾳ
κατῆλθες εἰς τὴν πόλιν; Οὐδὲν τούτων πεποίηκα.
Οὐδέν; δοκεῖς οὖν χαιρήσειν καὶ οὐκ ἀποθανεῖσθαι,
102 ὡς ἕτεροι πολλοί; Ἆρ' (ἂν) οἴεσθε ὦ ἄνδρες ἄλλων
τινῶν τυχεῖν με δι' ὑμᾶς, εἰ ἐλήφθην ὑπ' αὐτῶν;
οὐκ οὖν δεινὸν εἰ ὑπὸ μὲν τούτων διὰ τοῦτ' ἂν
ἀπωλόμην, ὅτι εἰς τὴν πόλιν οὐδὲν ἥμαρτον, ὥσπερ
καὶ ἑτέρους ἀπέκτειναν, ἐν ὑμῖν δὲ κρινόμενος, οὓς
οὐδὲν κακὸν πεποίηκα, οὐ σωθήσομαι; πάντως δή-
103 που· ἢ σχολῇ γέ τις ἄλλος ἀνθρώπων. Ἀλλὰ γὰρ
14 ὦ ἄνδρες τὴν μὲν ἔνδειξιν ἐποιήσαντό | μου κατὰ
νόμον κείμενον, τὴν δὲ κατηγορίαν κατὰ τὸ ψήφισμα
τὸ πρότερον γεγενημένον περὶ ἑτέρων. εἰ οὖν ἐμοῦ

ὑμετέρους A Turr. (coll. § 105): ἡμετέρους.
101. ἐπετείχισας cum Steph. Bk.: ἐπετείχισες. — τοὺς ἑαυτοῦ AB Kl. Turr. coll. § 114. — καὶ οὐκ Dobr.: ἢ οὐκ.
102. ἆρ' (ἂν) cum Dobr. Turr. — με cum A add. Bk. — δι' ὑμᾶς R. Turr.: δι' ἡμᾶς. — ὑμῖν] ἡμῖν A[d]. — οἷς οὐδὲν κακὸν πεπ. Emp. h. e. „propterea quod", coll. Lys. 12, 40 (ubi tamen istud οἷς in ὅτι mutatum a Tayl. Turr.).

καταψηφιεῖσθε, ὁρᾶτε μὴ οὐκ ἐμοὶ μάλιστα τῶν πο-
λιτῶν προσήκει λόγον δοῦναι τῶν γεγενημένων, ἀλλὰ
πολλοῖς ἑτέροις μᾶλλον, τοῦτο μὲν οἷς ὑμεῖς ἐναντία
μαχεσάμενοι διηλλάγητε καὶ ὅρκους ὠμόσατε, τοῦτο
δὲ οὓς φεύγοντας κατηγάγετε, τοῦτο δὲ οὓς ἀτίμους
ὄντας ἐπιτίμους ἐποιήσατε· ὧν εἵνεκα καὶ στήλας
ἀνείλετε καὶ νόμους ἀκύρους ἐποιήσατε καὶ ψηφί-
σματα ἐξηλείψατε· οἳ νυνὶ μένουσιν ἐν τῇ πόλει πι-
στεύοντες ὑμῖν, ὦ ἄνδρες. εἰ οὖν γνώσονται ὑμᾶς 104
ἀποδεχομένους τὰς κατηγορίας τῶν πρότερον γεγε-
νημένων, τίνα αὐτοὺς οἴεσθε γνώμην ἕξειν περὶ
σφῶν αὐτῶν; ἢ τίνα αὐτῶν ἐθελήσειν εἰς ἀγῶνας
καθίστασθαι ἕνεκα τῶν πρότερον γεγενημένων;
φανήσονται γὰρ πολλοὶ μὲν ἐχθροὶ πολλοὶ δὲ συκο-
φάνται, οἳ καταστήσουσιν αὐτῶν ἕκαστον εἰς ἀγῶνα.
ἥκουσι δὲ νυνὶ ἀκροασόμενοι ἀμφότεροι, οὐ τὴν 105
αὐτὴν γνώμην ἔχοντες ἀλλήλοις, ἀλλ' οἱ μὲν εἰσό-
μενοι εἰ χρὴ πιστεύειν τοῖς νόμοις τοῖς κειμένοις καὶ
τοῖς ὅρκοις οὓς ὠμόσατε ἀλλήλοις, οἱ δὲ ἀποπειρώ-
μενοι τῆς ὑμετέρας γνώμης, εἰ αὐτοῖς ἐξέσται ἀδεῶς
συκοφαντεῖν καὶ γράφεσθαι, τοὺς δὲ ἐνδεικνύναι,
τοὺς δὲ ἀπάγειν. οὕτως οὖν ἔχει, ὦ ἄνδρες· ὁ μὲν
ἀγὼν ἐν τῷ σώματι τῷ ἐμῷ καθέστηκεν, ἡ δὲ ψῆφος
ἡ ὑμετέρα δημοσίᾳ κρινεῖ, πότερον χρὴ τοῖς νόμοις
τοῖς ὑμετέροις πιστεύειν ἢ τοὺς συκοφάντας παρα-

103. προσήκῃ Steph. — μαχεσαμένοις ci. R. — ἀτίμως AB. — εἵνεκα ABk.: ἕνεκα. — καὶ ψηφίσματα pr. A Bk. (τὰ supra lin. add. pr. A[d]): καὶ τὰ ψηφ.

104. προτέρων γεγενημένων utrobique ABLZ. — vv. ἢ τίνα — γεγενημένων del. Emp.. Sed hoc dicit orator: nolent iudicium subire, potius urbem relinquent (105).

105. ἀκροασάμενοι Z et pr. A. — οἰσόμενοι BZ et pr. L. — εἰ χρὴ AZ Bk.: ἢ χρὴ BL, εἰ ἢ χρὴ v. — ὀμόσατε A[d]. — αὐτοῖς AB Bk.: αὐτούς. — (τοὺς μὲν) γραφ. W. — κρινεῖ cum Steph. Turr.: κρίνει.

σκευάζεσθαι, ἢ φεύγειν αὐτοὺς ἐκ τῆς πόλεως καὶ ἀπιέναι ὡς τάχιστα.

106 *Ἵνα δὲ εἰδῆτε, ὦ ἄνδρες, ὅτι τὰ πεποιημένα ὑμῖν εἰς ὁμόνοιαν οὐ κακῶς ἔχει, ἀλλὰ τὰ προσήκοντα καὶ τὰ συμφέροντα ὑμῖν αὐτοῖς ἐποιήσατε, βραχέα βούλομαι καὶ περὶ τούτων εἰπεῖν. οἱ γὰρ πατέρες οἱ ὑμέτεροι γενομένων τῇ πόλει κακῶν μεγάλων, ὅτε οἱ τύραννοι μὲν εἶχον τὴν πόλιν, ὁ δὲ δῆμος ἔφευγε, νικήσαντες μαχόμενοι τοὺς τυράννους ἐπὶ Παλληνίῳ, στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ καὶ Χαρίου οὗ ἐκεῖνος τὴν θυγατέρα εἶχεν, ἐξ ἧς ὁ ἡμέτερος ἦν πάππος, κατελθόντες εἰς τὴν πατρίδα τοὺς μὲν ἀπέκτειναν, τῶν δὲ φυγὴν κατέγνωσαν, τοὺς δὲ μένειν ἐν τῇ πόλει ἐάσαντες ἠτί-*

107 *μωσαν. ὕστερον δὲ ἡνίκα βασιλεὺς ἐπεστράτευσεν ἐπὶ τὴν Ἑλλάδα, γνόντες τῶν συμφορῶν τῶν ἐπιουσῶν τὸ μέγεθος καὶ τὴν παρασκευὴν τοῦ βασιλέως, ἔγνωσαν τούς τε φεύγοντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι καὶ κοινὴν τήν τε σωτηρίαν καὶ τοὺς κινδύνους ποιήσασθαι. πράξαντες δὲ ταῦτα, καὶ δόντες ἀλλήλοις πίστεις καὶ ὅρκους μεγάλους, ἠξίουν σφᾶς αὐτοὺς προτάξαντες πρὸ τῶν Ἑλλήνων ἁπάντων ἀπαντῆσαι τοῖς βαρβάροις Μαραθῶνάδε, νομίσαντες τὴν σφετέραν αὐτῶν ἀρετὴν ἱκανὴν εἶναι τῷ πλήθει τῷ ἐκείνων ἀντιτάξασθαι· μαχεσάμενοί τε ἐνίκων, καὶ τήν τε Ἑλλάδα*

106. *βραχεῖα* A, *βραχεία* B. — *ἔφευγε* ci. S.: *ἔφυγε*; cf. 107. — *Χαρίου*] *Καλλίου* Sl. p. 5 (coll. Herod. 6, 121), quod prob. Emp. — *τῶν δὲ*] *τοὺς δὲ* L pr. et AB.

107. „immo *τὴν βασιλέως*" Bk. — *φεύγοντας* Turr.: *φυγόντας*. — *πράξαντας* A et pr. M. — *διδόντες* ABL. — — *προτάξαντες* B et pr. A. (Bk., et ci. Sl.): *προστάξαντες* LZ et corr. A[d], *προστάξαντας* Ald. — *νομίσαντες τὴν σφετέραν κτἑ.*] cf. Thuc. 3, 56.

ἠλευθέρωσαν καὶ τὴν πατρίδα ἔσωσαν. ἔργον δὲ 108
τοιοῦτον ἐργασάμενοι οὐκ ἠξίωσάν τινι τῶν πρότερον
γενομένων μνησικακῆσαι. τοιγάρτοι διὰ ταῦτα τὴν
πόλιν ἀνάστατον παραλαβόντες ἱερά τε κατακεκαυ-
μένα τείχη τε καὶ οἰκίας καταπεπτωκυίας, ἀφορμήν
τε οὐδεμίαν ἔχοντες, διὰ τὸ ἀλλήλοις ὁμονοεῖν τὴν
ἀρχὴν τῶν Ἑλλήνων κατειργάσαντο καὶ τὴν πόλιν
ὑμῖν τοιαύτην καὶ τοσαύτην παρέδοσαν. ὑμεῖς οὖν 109
καὶ αὐτοὶ ὕστερον, κακῶν οὐκ ἐλαττόνων ἢ ἐκείνοις
γεγενημένων, ἀγαθοὶ ἐξ ἀγαθῶν ὄντες ἀπέδοτε τὴν
ὑπάρχουσαν ἀρετήν· ἠξιώσατε γὰρ τούς τε φεύγον-
τας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆ-
σαι. τί οὖν ὑμῖν ὑπόλοιπόν ἐστι τῆς ἐκείνων ἀρε-
τῆς; μὴ μνησικακῆσαι, εἰδότας ὦ ἄνδρες ὅτι ἡ πόλις
ἐκ πολὺ ἐλάττονος ἀφορμῆς ἐν τῷ ἔμπροσθεν χρόνῳ
μεγάλη καὶ εὐδαίμων ἐγένετο· ἃ νῦν αὐτῇ ὑπάρχει,
εἰ ἐθέλοιμεν οἱ πολῖται σωφρονεῖν τε καὶ ὁμονοεῖν
ἀλλήλοις.

Κατηγόρησαν | δέ μου καὶ περὶ τῆς ἱκετηρίας, 110
ὡς καταθείην ἐγὼ ἐν τῷ Ἐλευσινίῳ, νόμος δ' εἴη
πάτριος, ὃς ἂν θῇ ἱκετηρίαν μυστηρίοις, τεθνάναι.
καὶ οὕτως εἰσὶ τολμηροὶ ὥσθ' ἃ αὐτοὶ κατεσκεύα-
σαν, οὐκ ἀρκεῖ αὐτοῖς ὅτι οὐ κατέσχον ἃ ἐπεβού-
λευσαν, ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιοῦνται ὡς
ἀδικοῦντος. ἐπειδὴ γὰρ ἤλθομεν Ἐλευσινόθεν καὶ 111
ἡ ἔνδειξις ἐγεγένητο, προσήει ὁ βασιλεὺς περὶ τῶν
γεγενημένων Ἐλευσῖνι κατὰ τὴν τελετήν, ὥσπερ

108. *διὰ ταῦτα*] *μετὰ ταῦτα* Bakius.
109. *ἐπίλοιπον* Dobr. coll. § 87; sed cf. 3, 24; 1, 52. — *ἃ νῦν*] *ἢ νῦν* S. Emp. Malim autem *ἃ* (*καὶ*) *νῦν*.
110. *δ' εἴη* Bk. Dobr.: *δὲ ἦν*.
111. *Ἐλευσῖνι* AB Bk.: *ἐν Ἐλευσῖνι*. — *τοῖς πρυτάνεσιν* ante *οἱ δὲ πρυτ.* add. Kö. —

ἔθος ἐστίν, οἱ δὲ πρυτάνεις προσάξειν ἔφασαν αὐτὸν πρὸς τὴν βουλήν, ἐπαγγεῖλαί τ' ἐκέλευον ἐμοί τε καὶ Κηφισίῳ παρεῖναι εἰς τὸ Ἐλευσίνιον· ἡ γὰρ βουλὴ ἐκεῖ καθεδεῖσθαι ἔμελλε κατὰ τὸν Σόλωνος νόμον, ὃς κελεύει τῇ ὑστεραίᾳ τῶν μυστηρίων ἕδραν
112 *ποιεῖν ἐν τῷ Ἐλευσινίῳ. καὶ παρῆμεν κατὰ τὰ προειρημένα. καὶ ἡ βουλὴ ἐπειδὴ ἦν πλήρης, ἀναστὰς Καλλίας ὁ Ἱππονίκου τὴν σκευὴν ἔχων λέγει ὅτι ἱκετηρία κεῖται ἐπὶ τοῦ βωμοῦ, καὶ ἔδειξεν αὐτοῖς. κᾆθ' ὁ κῆρυξ ἐκήρυττε τίς τὴν ἱκετηρίαν καταθείη, καὶ οὐδεὶς ὑπήκουεν. ἡμεῖς δὲ παρέσταμεν, καὶ οὗτος ἡμᾶς ἑώρα. ἐπειδὴ δὲ οὐδεὶς ὑπήκουεν, ᾤχετο εἰσιών. ἐπεξελθὼν Εὐκλῆς οὑτοσί — καί μοι κάλει αὐτόν. Πρῶτα μὲν οὖν ταῦτα εἰ ἀληθῆ λέγω, μαρτύρησον, Εὔκλεις.*

ΜΑΡΤΥΡΙΑ.

113 *Ὡς μὲν ἀληθῆ λέγω, μεμαρτύρηται· πολὺ δέ μοι δοκεῖ τὸ ἐναντίον εἶναι ἢ οἱ κατήγοροι εἶπον. ἔλεξαν γάρ, εἰ μέμνησθε, ὅτι αὐτώ με τὼ θεὼ παραγάγοιεν ὥστε θεῖναι τὴν ἱκετηρίαν μὴ εἰδότα τὸν νόμον, ἵνα δῶ δίκην. ἐγὼ δέ, ὦ ἄνδρες, εἰ ὡς μάλιστα ἀληθῆ*

τελευτήν BLZ. — *ἐπαγγεῖλαι* Bk.: *ἀπαγγεῖλαι.* — *Κηφησίῳ* A^d.

112. *προηρημένα* AB. — *κᾆθ'* (ita Bk.: *καθὰ* codd., *κᾆθα* Turr.) *ὁ κῆρυξ ἐκήρυττε* add. AB. — *παρέσταμεν* Bk.: *παρέστημεν* codd. (sed A^d corr.), quod revocarunt Turr. — *ὑπήκουεν ᾤχετο* pr. A.: *ὑπήκ. καὶ ᾤχετο.* — Euclem ipsum *τὸν κήρυκα* esse statuit Kirchhoff. Herm. I, 15 sqq., inscriptionibus probans revera illo tempore Euclem quendam praeconis munere apud senatum populumque functum esse. Delet igitur interpunct. post *καὶ ᾤχετο εἰσιών* („cum foras egressus E. infecta re rursus intro abisset"). — *πρῶτον μὲν οὖν ταῦτα* est § 46; cf. 3, 10.

113. *ΜΑΡΤΥΡΙΑ* om. ABLZ. — *αὐτώ με* ABLZ Bk.: *αὐτὼ μὲν.* — *παραγάγοιεν* Dobr. Turr.: *περιαγάγοιεν.* — *αὐτοῖν με* ci. R.: *αὐτοῖν μὲν.* V. supra.

λέγουσιν οἱ κατήγοροι, ὑπ᾽ αὐτοῖν με φημὶ τοῖν
θεοῖν σεσῶσθαι. εἰ γὰρ ἔθηκα μὲν τὴν ἱκετηρίαν, 114
ὑπήκουσα δὲ μή, ἄλλο τι ἢ αὐτὸς μὲν αὐτὸν ἀπώλ-
λυον τιθεὶς τὴν ἱκετηρίαν, ἐσωζόμην δὲ τῇ τύχῃ διὰ
τὸ μὴ ὑπακοῦσαι, δῆλον ὅτι διὰ τὼ θεώ; εἰ γὰρ
ἐβουλέσθην με ἀπολλύναι τὼ θεώ, ἐχρῆν δήπου καὶ
μὴ θέντα με τὴν ἱκετηρίαν ὁμολογῆσαι. ἀλλ᾽ οὔτε
ὑπήκουσα οὔτ᾽ ἔθηκα. ἐπειδὴ δ᾽ ἔλεγε τῇ βουλῇ 115
Εὐκλῆς ὅτι οὐδεὶς ὑπακούοι, πάλιν ὁ Καλλίας στὰς
ἔλεγεν ὅτι εἴη νόμος πάτριος, εἴ τις ἱκετηρίαν θείη
ἐν τῷ Ἐλευσινίῳ, ἄκριτον ἀποθανεῖν, καὶ ὁ πατήρ
ποτ᾽ αὐτοῦ Ἱππόνικος ἐξηγήσαιτο ταῦτα Ἀθηναίοις,
ἀκούσειε δὲ ὅτι ἐγὼ θείην τὴν ἱκετηρίαν. ἐντεῦθεν
ἀναπηδᾷ Κέφαλος οὑτοσὶ καὶ λέγει· „Ὦ Καλλία, 116
πάντων ἀνθρώπων ἀνοσιώτατε, πρῶτον μὲν ἐξηγῇ
Κηρύκων ὤν, οὐχ ὅσιον (ὂν) σοι ἐξηγεῖσθαι· ἔπειτα
δὲ νόμον πάτριον λέγεις, ἡ δὲ στήλη παρ᾽ ᾗ ἕστηκας
χιλίας δραχμὰς κελεύει ὀφείλειν, ἐάν τις ἱκετηρίαν
θῇ ἐν τῷ Ἐλευσινίῳ. ἔπειτα δὲ τίνος ἤκουσας ὅτι
Ἀνδοκίδης θείη τὴν ἱκετηρίαν; κάλεσον αὐτὸν τῇ
βουλῇ, ἵνα καὶ ἡμεῖς ἀκούσωμεν.“ ἐπειδὴ δὲ ἀνε-
γνώσθη ἡ στήλη κἀκεῖνος οὐκ εἶχεν εἰπεῖν ὅτου
ἤκουσε, καταφανὴς ἦν τῇ βουλῇ αὐτὸς θεὶς τὴν
ἱκετηρίαν.

Φέρε δὴ τοίνυν, ὦ ἄνδρες — τάχα γὰρ ἂν αὐτὸ 117

114. ἐβουλέσθην Bk. et A[d] (qui vv. εἰ γὰρ-τὼ θεώ in mg. add.): ἐβουλίσθην B, ἐβουλήθην LZ, ἐβουληθήτην v. — ἀπολλύναι A Bk.: ἀπολεῖν καί.

115. ὑπακούοι AB Bk.: ὑπακούει. — στὰς] ἀναστὰς mal. Bait. W. coll. § 112. — ἐξηγήσαιτο Dobr. Turr.: ἐξηγήσατο. — ἐντεῦθεν] ἐνταῦθ᾽ postulat Bk.; def. vulg. Turr.

116. κηρύκων ὢν cum R. Turr.: κηρύκων ὤν; porro ὂν cum Frohb. addidi. Possis etiam: κῆρυξ ὢν (ita Scal.), ὂν οὐχ ὅσιόν σοι ἐξηγεῖσθαι. — ἔπειτα δὲ AB Bk.: ἔπειτα δή.

*βούλοισθε πυθέσθαι —, ὁ δὲ Καλλίας τί βουλόμενος
ἐτίθει τὴν ἱκετηρίαν; ἐγὼ δὲ ὑμῖν διηγήσομαι ὧν
ὑπ' αὐτοῦ εἵνεκα ἐπεβουλεύθην. Ἐπίλυκος ἦν ὁ
Τισάνδρου θεῖός μοι, ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς·
ἀπέθανε δὲ ἐν Σικελίᾳ ἄπαις ἀρρένων παίδων, θυ-
γατέρας δὲ δύο καταλιπών, αἳ ἐγίγνοντο εἴς τε ἐμὲ*
118 *καὶ Λέαγρον. τὰ δὲ πράγματα τὰ οἴκοι πονήρως
εἶχε· τὴν μὲν γὰρ φανερὰν οὐσίαν οὐδὲ δυοῖν
ταλάντοιν κατέλιπε, τὰ δὲ ὀφειλόμενα πλέον ἦν ἢ
πέντε τάλαντα. ὅμως δ' ἐγὼ καλέσας Λέαγρον ἐναν-
τίον τῶν φίλων ἔλεγον ὅτι ταῦτ' εἴη ἀνδρῶν ἀγα-
θῶν, ἐν τοῖς τοιούτοις δεικνύναι τὰς οἰκειότητας*
119 *ἀλλήλοις. „ἡμᾶς γὰρ οὐ δίκαιόν ἐστιν οὔτε χρήματα
ἕτερα οὔτ' εὐτυχίαν ἀνδρὸς ἑλέσθαι, ὥστε κατα-
φρονῆσαι τῶν Ἐπιλύκου θυγατέρων. καὶ γὰρ εἰ
ἔζη Ἐπίλυκος ἢ τεθνεὼς πολλὰ κατέλιπε χρήματα,
ἠξιοῦμεν ἂν γένει ὄντες ἐγγυτάτω ἔχειν τὰς παῖδας.
τοιγάρτοι ἐκεῖνα μὲν δι' Ἐπίλυκον ἂν ἦν ἢ διὰ τὰ*
16 *χρήματα· νῦν δὲ διὰ τὴν ἡμετέραν ἀρετὴν | τάδε
ἔσται. τῆς μὲν οὖν σὺ ἐπιδικάζου, τῆς δὲ ἐγώ.“*
120 *ὡμολόγησέ μοι, ὦ ἄνδρες. ἐπεδικασάμεθα ἄμφω
κατὰ τὴν πρὸς ἡμᾶς ὁμολογίαν. καὶ ἧς μὲν ἐγὼ
ἐπεδικασάμην, ἡ παῖς τύχῃ χρησαμένῃ καμοῦσα
ἀπέθανεν· ἡ δ' ἑτέρα ἔστιν ἔτι. ταύτην Καλλίας
ἔπειθε Λέαγρον, χρήματα ὑπισχνούμενος, ἐὰν αὐτὸν
λαβεῖν· αἰσθόμενος δ' ἐγὼ εὐθὺς ἔθηκα παράστασιν,
καὶ ἔλαχον προτέρῳ μὲν Λεάγρῳ, ὅτι „εἰ μὲν σὺ
βούλει ἐπιδικάζεσθαι, ἔχε τύχῃ ἀγαθῇ, εἰ δὲ μή,*
121 *ἐγὼ ἐπιδικάσομαι.“ γνοὺς ταῦτα Καλλίας λαγχάνει*

117. *βούλοισθε* G. Hermann. Schi. Turr.: *βούλεσθε*. — *ἐτίθει* ABLZ Turr.: *ἐτίθη*.
120. *ταύτην*] *ταύτῃ* BLZ.

τῷ υἱεῖ τῷ ἑαυτοῦ τῆς ἐπικλήρου, τῇ δεκάτῃ ἱστα-
μένου, ἵνα μὴ ἐπιδικάσωμαι ἐγώ. ταῖς δ' εἰκάσι,
μυστηρίοις τούτοις, δοὺς Κηφισίῳ χιλίας δραχμὰς
ἐνδείκνυσί με καὶ εἰς τὸν ἀγῶνα τοῦτον καθίστησιν.
ἐπειδὴ δ' ἑώρα με ὑπομένοντα, τίθησι τὴν ἱκετηρίαν,
ὡς ἐμὲ μὲν ἀποκτενῶν ἄκριτον ἢ ἐξελῶν, αὐτὸς δὲ
πείσας Λέαγρον χρήμασι συνοικήσων τῇ Ἐπιλύκου
θυγατρί. ἐπειδὴ δ' οὐδ' ὣς ἄνευ ἀγῶνος ἑώρα 122
ἐσόμενα τὰ πράγματα, τότε δὴ προσιὼν Λυσίστρατον,
Ἡγήμονα, Ἐπιχάρη, ὁρῶν φίλους ὄντας ἐμοὶ καὶ
χρωμένους, εἰς τοῦτο βδελυρίας ἦλθε καὶ παρανο-
μίας, ὥστ' ἔλεγε πρὸς τούτους ὡς εἰ ἔτι καὶ νῦν
βουλοίμην ἀποστῆναι τῆς Ἐπιλύκου θυγατρός, ἕτοι-
μος εἴη παύσασθαί με κακῶς ποιῶν, ἀπαλλάξαι δὲ
Κηφίσιον, δίκην δ' ἐν τοῖς φίλοις δοῦναί μοι τῶν
πεποιημένων. εἶπον αὐτῷ καὶ κατηγορεῖν καὶ παρα- 123
σκευάζειν ἄλλους· εἰ δ' ἐγὼ αὐτὸν ἀποφεύξομαι καὶ
γνώσονται Ἀθηναῖοι περὶ ἐμοῦ τὰ δίκαια, ἐγὼ αὐτὸν
οἴομαι περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ ἐν τῷ μέρει
κινδυνεύσειν. ἅπερ αὐτὸν οὐ ψεύσομαι, ἐὰν ὑμῖν
ὦ ἄνδρες δοκῇ. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς
μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Ἀλλὰ γὰρ τὸν υἱὸν αὐτοῦ τοῦτον, ᾧ λαχεῖν 124

121. ἐξελῶν cum Valck. Bk.: ἐξελὼν. — πείσας cum Scal. et R. Bk. Bait. (πείσων — καὶ συνοικ. praef. S.): πείσων.

122. οὐδ' ὣς Bk.: οὕτως (οὐδ' οὕτως ci. R.). — ἄνευ ἀγῶνος ἑώρα AB Bk.: ἑώρα ἄνευ ἀγῶνος. — Ἡγήμονα cum Valck. Turr.: Ἡγεμόνα. — Ἐπιχάρη Schi. (ci. R.): Ἐπιχάρην Valck. Bk. cum A; ἐπεχάρην B (et fort. A[d]), ἐπεχάρη v. — καὶ ante χρωμένους om. Ald. (φίλους ὄντας delebat Coraes). — num παύσασθαι μὲν κακ. ποιῶν?

123. ἀποφεύξομαι cum R. et Valck. Bk.: ἀποφεύξαιμι ABLZ, ἀποφθέγξομαι vulg. — καὶ ante ἐγὼ αὐτὸν add. Ald.

124. ᾧ AL Bk.: ὃν.

ἠξίωσε τῆς Ἐπιλύκου θυγατρός, σκέψασθε πῶς
γέγονεν, καὶ πῶς ἐποιήσατ' αὐτόν· ταῦτα γὰρ καὶ
ἄξιον ἀκοῦσαι, ὦ ἄνδρες. γαμεῖ μὲν Ἰσχομάχου
θυγατέρα· ταύτῃ δὲ συνοικήσας οὐδ' ἐνιαυτὸν τὴν
μητέρα αὐτῆς ἔλαβε, καὶ συνῴκει ὁ πάντων σχε-
τλιώτατος ἀνθρώπων τῇ μητρὶ καὶ τῇ θυγατρί,
ἱερεὺς ὢν τῆς μητρὸς καὶ τῆς θυγατρός, καὶ εἶχεν
125 ἐν τῇ οἰκίᾳ ἀμφοτέρας. καὶ οὗτος μὲν οὐκ ᾐσχύνθη
οὐδ' ἔδεισε τὼ θεώ· ἡ δὲ τοῦ Ἰσχομάχου θυγάτηρ
τεθνάναι νομίσασα λυσιτελεῖν ἢ ζῆν ὁρῶσα τὰ γιγνό-
μενα, ἀπαγχομένη μεταξὺ κατεκωλύθη, καὶ ἐπειδὴ
ἀνεβίω, ἀποδρᾶσα ἐκ τῆς οἰκίας ᾤχετο, καὶ ἐξήλασεν
ἡ μήτηρ τὴν θυγατέρα. ταύτης δ' αὖ διαπεπλησμέ-
νος ἐξέβαλε καὶ ταύτην. ἡ δ' ἔφη κυεῖν ἐξ αὐτοῦ·
καὶ ἐπειδὴ ἔτεκεν υἱόν, ἔξαρνος ἦν μὴ εἶναι ἐξ
126 αὐτοῦ τὸ παιδίον. λαβόντες δὲ οἱ προσήκοντες τῇ
γυναικὶ τὸ παιδίον ἧκον ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις,
ἔχοντες ἱερεῖον, καὶ ἐκέλευον κατάρξασθαι τὸν
Καλλίαν. ὁ δ' ἠρώτα τίνος εἴη τὸ παιδίον· ἔλεγον
„Καλλίου τοῦ Ἱππονίκου.“ „ἐγώ εἰμι οὗτος.“ “καὶ
ἔστι γε σὸν τὸ παιδίον.“ λαβόμενος τοῦ βωμοῦ
ὤμοσεν ἦ μὴν μὴ εἶναί (οἱ) υἱὸν ἄλλον μηδὲ γενέ-
σθαι πώποτε, εἰ μὴ Ἱππόνικον ἐκ τῆς Γλαύκωνος
θυγατρός· ἢ ἐξώλη εἶναι καὶ αὐτὸν καὶ τὴν οἰκίαν,
127 ὥσπερ ἔσται. μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ὑστέρῳ
πάλιν χρόνῳ τῆς γραὸς τολμηροτάτης γυναικὸς ἀνη-

125. τοῦ ante Ἰσχ. add. AB Bk. — κατεκωλύθη cum Sl. scripsi: κατεκλίθη (κατελύθη Bait. Turr.). — ἀποδρᾶσα Bk.: ἀποδράσασα. — κυεῖν cum Kl. Turr.: κύειν.

126. οἱ post εἶναι cum R. add. Bk. (habet etiam mg. Ald. ap. Sl.).

127. malim ὕστερον π. χρόνῳ, sicut est 2, 10. — υἱὸν αὐτοῦ Bait. Turr.: υἱὸν αὐτοῦ. —

ράσθη, καὶ κομίζεται αὐτὴν εἰς τὴν οἰκίαν, καὶ τὸν παῖδα ἤδη μέγαν ὄντα εἰσάγει εἰς Κήρυκας, φάσκων εἶναι υἱὸν αὐτοῦ. ἀντεῖπε μὲν Καλλίδης μὴ εἰσδέξασθαι, ἐψηφίσαντο δὲ οἱ Κήρυκες κατὰ τὸν νόμον ὅς ἐστιν αὐτοῖς, τὸν πατέρα ὀμόσαντα εἰσάγειν ἦ μὴν υἱὸν ὄντα ἑαυτοῦ εἰσάγειν. λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν τὸν παῖδα ἑαυτοῦ εἶναι γνήσιον, ἐκ Χρυσιάδος γεγονότα· ὃν ἀπώμοσε. Καί μοι τούτων ἁπάντων τοὺς μάρτυρας κάλει.

ΜΑΡΤΥΡΕΣ.

128 *Φέρε δὴ τοίνυν, ὦ ἄνδρες, σκεψώμεθα εἰ πώποτε ἐν τοῖς Ἕλλησι πρᾶγμα τοιοῦτον ἐγένετο, ὅπου γυναῖκά τις γήμας ἐπέγημε τῇ θυγατρὶ τὴν μητέρα καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα· ταύτῃ δὲ συνοικῶν βούλεται τὴν Ἐπιλύκου | θυγατέρα λαβεῖν,* 17 *ἵν' ἐξελάσῃ τὴν τήθην ἡ θυγατριδῆ. ἀλλὰ γὰρ τῷ* 129 *παιδὶ αὐτοῦ τί χρὴ τοὔνομα θέσθαι; οἶμαι γὰρ ἔγωγε οὐδένα οὕτως ἀγαθὸν εἶναι λογίζεσθαι, ὅστις ἐξευρήσει τοὔνομα αὐτοῦ. τριῶν γὰρ οὐσῶν γυναικῶν αἷς συνῳκηκὼς ἔσται ὁ πατὴρ αὐτοῦ, τῆς μὲν υἱός ἐστιν, ὥς φησι, τῆς δὲ ἀδελφός, τῆς δὲ θεῖος. τίς ἂν εἴη οὗτος; Οἰδίπους, ἢ Αἴγισθος; ἢ τί χρὴ αὐτὸν ὀνομάσαι;*

130 *Ἀλλὰ γάρ, ὦ ἄνδρες, βραχύ τι ὑμᾶς ἀναμνῆσαι περὶ Καλλίου βούλομαι. εἰ γὰρ μέμνησθε, ὅτε ἡ*

Καλλιάδης ci. Valck. et R. — *ὅς ἐστιν αὐτοῖς* Bk.: *ὅ ἐστιν αὐτός* ABLZ; *ὅς ἐστιν αὐτὸν* v. — *ὄντα* A Bk.: *οὕτως* (*ὄντως* ci. R. Valck.). — *χρυσιάδης* ALZ, *Χρυσίδος* ci. R. — *ΜΑΡΤΥΡΕΣ* om. ABLZ.

128. *εἰ πώποτε* A Bk.: *εἰπόποτε* B, *εἴ ποτε* v. — vv. *καὶ ἐξήλασε — θυγ.* in mg. add. A[d]. — *παιδὶ* scripsi (coll. 126 sq.): *παιδίῳ*.

130. *εὖ γὰρ μέμνησθε* Cob. —

πόλις ἦρχε τῶν Ἑλλήνων καὶ εὐδαιμόνει μάλιστα,
Ἱππόνικος δὲ ἦν πλουσιώτατος τῶν Ἑλλήνων, τότε
μέντοι πάντες ἴστε ὅτι παρὰ τοῖς παιδαρίοις τοῖς
μικροτάτοις καὶ τοῖς γυναίοις κληδὼν ἐν ἁπάσῃ τῇ
πόλει κατεῖχεν, ὅτι Ἱππόνικος ἐν τῇ οἰκίᾳ ἀλιτήριον
τρέφει, ὃς αὐτοῦ τὴν τράπεζαν ἀνατρέπει. μέμνησθε
131 ταῦτα, ὦ ἄνδρες. πῶς οὖν ἡ φήμη ἡ τότε οὖσα
δοκεῖ ὑμῖν ἀποβῆναι; οἰόμενος γὰρ Ἱππόνικος υἱὸν
τρέφειν ἀλιτήριον αὐτῷ ἔτρεφεν, ὃς ἀνατέτροφεν
ἐκείνου τὸν πλοῦτον, τὴν σωφροσύνην, τὸν ἄλλον
βίον ἅπαντα. οὕτως οὖν χρὴ περὶ τούτου γιγνώ-
σκειν, ὡς ὄντος Ἱππονίκου ἀλιτηρίου.

132 Ἀλλὰ γάρ, ὦ ἄνδρες, διὰ τί ποτε τοῖς ἐμοὶ νυνὶ
ἐπιτιθεμένοις μετὰ Καλλίου καὶ συμπαρασκευάσασι
τὸν ἀγῶνα καὶ χρήματα εἰσενεγκοῦσιν ἐπ' ἐμοὶ τρία
μὲν ἔτη ἐπιδημῶν καὶ ἥκων ἐκ Κύπρου οὐκ ἀσεβεῖν
ἐδόκουν αὐτοῖς, μυῶν μὲν Ἀ . . . . Δελφόν, ἔτι δὲ
ἄλλους ξένους ἐμαυτοῦ, καὶ εἰσιὼν εἰς τὸ Ἐλευσίνιον
καὶ θύων, ὥσπερ ἐμαυτὸν ἄξιον νομίζω εἶναι· ἀλλὰ
τοὐναντίον λειτουργεῖν οὗτοι προὐβάλλοντο, πρῶτον
μὲν γυμνασίαρχον Ἡφαιστείοις, ἔπειτα ἀρχιθεωρὸν
εἰς Ἰσθμὸν καὶ Ὀλυμπίαζε, εἶτα δὲ ταμίαν ἐν πόλει
τῶν ἱερῶν χρημάτων· νῦν δὲ ἀσεβῶ καὶ ἀδικῶ εἰσιὼν
133 εἰς τὰ ἱερά; ἐγὼ ὑμῖν ἐρῶ διότι οὗτοι ταῦτα νῦν
γιγνώσκουσιν. Ἀγύρριος γὰρ οὑτοσί, ὁ καλὸς κἀγα-
θός, ἀρχώνης ἐγένετο τῆς πεντηκοστῆς τρίτον ἔτος,
καὶ ἐπρίατο τριάκοντα ταλάντων, μετέσχον δ' αὐτῷ

ἁπάσῃ] πάσῃ Z, ἅπασι AL. — κατεῖχεν scripsi: κατέσχεν.
131. υἱὸν τρέφειν AB Bk.: υἱὸν αὐτῷ τρέφειν.
132. Ἀ . . . Δελφόν Bk.: ἀδελφόν. — Ἡφαιστίοις ABLZ (Turr.). — ἀρχιθεωρὸν ABLZ Bk.: ἀρχιθέωρον.
133. Ἀγύρριος Bk.: ἀ.γύρριος A; ἀγύριος B, ἀργύριος v. — ἀρχώνης cum R. et Valck. Bk.: ἄρχων εἷς. —

οὗτοι πάντες οἱ παρασυλλεγέντες ὑπὸ τὴν λεύκην, οὓς ὑμεῖς ἴστε οἷοί εἰσιν· οἳ διὰ τοῦτο ἔμοιγε δοκοῦσι συλλεγῆναι ἐκεῖσε, ἵν' αὐτοῖς ἀμφότερα ᾖ, καὶ μὴ ὑπερβάλλωσι λαβεῖν ἀργύριον καὶ ὀλίγου πραθείσης μετασχεῖν. κερδάναντες δὲ τρία τάλαντα, 134
γνόντες τὸ πρᾶγμα οἷον εἴη, ὡς πολλοῦ ἄξιον, συνέστησαν πάντες, καὶ μεταδόντες τοῖς ἄλλοις ἐωνοῦντο πάλιν τριάκοντα ταλάντων. ἐπεὶ δ' οὐκ ἀντωνεῖτο οὐδείς, παρελθὼν ἐγὼ εἰς τὴν βουλὴν ὑπερέβαλλον, ἕως ἐπριάμην ἓξ καὶ τριάκοντα ταλάντων. ἀπελάσας δὲ τούτους καὶ καταστήσας ὑμῖν ἐγγυητὰς ἐξέλεξα τὰ χρήματα καὶ κατέβαλον τῇ πόλει καὶ αὐτὸς οὐκ ἐζημιώθην, ἀλλὰ καὶ βραχέα ἀπεκερδαίνομεν οἱ μετασχόντες· τούτους δ' ἐποίησα τῶν ὑμετέρων μὴ διανείμασθαι ἓξ τάλαντα ἀργυρίου. ἃ οὗτοι γνόντες 135
ἔδοσαν σφίσιν αὐτοῖς λόγον, ὅτι „ἅνθρωπος οὑτοσὶ οὔτε αὐτὸς λήψεται τῶν κοινῶν χρημάτων οὔθ' ἡμᾶς ἐάσει, φυλάξει δὲ καὶ ἐμποδὼν ἔσται διανείμασθαι τὰ κοινά· πρὸς δὲ τούτοις, ὃν ἂν ἡμῶν ἀδικοῦντα λάβῃ, εἰσάξει εἰς τὸ πλῆθος τῶν Ἀθηναίων καὶ ἀπολεῖ. δεῖ οὖν τοῦτον ἐκποδὼν ἡμῖν εἶναι καὶ δικαίως καὶ ἀδίκως.“ ταῦτα μὲν οὖν, ὦ ἄνδρες 136
δικασταί, τούτοις ποιητέα ἦν, ὑμῖν δέ γε (τὸ) ἐναντίον τούτων· ὡς γὰρ πλείστους εἶναι ὑμῖν ἤθελον

αὐτῷ cum R. Bk.: αὐτοί. — λεύκην οὓς cum R. Valck. mg. Ald. Bk.: λεύκην τὸ πόσους. — ὑπερβάλλωσι ABL Turr.: ὑπερβάλωσι PZ; ὑπερβάλλουσι Steph. Bk. — π. ραθείσης A[d].

134. τρία] δύο Ald.; ἓξ ci. R. (ΠΙ ἕξ, ΙΙΙ τρεῖς). — γνόντες AB Bk. (ci. Valck.): γνῶναι. — ὑπερέβαλον ABLPZ. ἀλλὰ βραχεῖα A[d] pr. — ἀπεκερδάναμεν?

135. ἅνθρωπος scripsi: ἄνθρωπος.

136. γε τὸ ἐναντίον Valck. Sl. (τὸ ἐναντίον Bk.): γε ἐναντίον (γε ἐναντία PZ). — ὡς γὰρ scripsi: τοὺς γάρ. — ὑμῖν cum R. Turr.: ἡμῖν. —

ἂν τοιούσδε οἷόσπερ ἐγώ, τούτους δὲ μάλιστα (μὲν)
ἀπολωλέναι, εἰ δὲ μή, εἶναι τοὺς μὴ ἐπιτρέψοντας
αὐτοῖς, οἷς καὶ προσήκει ἀνδράσιν εἶναι καὶ ἀγαθοῖς
καὶ δικαίοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ βουλό-
μενοι δυνήσονται εὖ ποιεῖν ὑμᾶς. ἐγὼ οὖν ὑμῖν
ὑπισχνοῦμαι ἢ παύσειν τούτους ταῦτα ποιοῦντας
καὶ βελτίους παρέξειν, ἢ εἰς ὑμᾶς εἰσαγαγὼν κολά-
σειν τοὺς ἀδικοῦντας αὐτῶν.

137 Κατηγόρησαν δέ μου καὶ περὶ τῶν ναυκληριῶν
18 καὶ περὶ τῆς ἐμπορίας, ὡς | ἄρα οἱ θεοὶ διὰ τοῦτό
με ἐκ τῶν κινδύνων σώσαιεν, ἵνα ἐλθὼν δεῦρο, ὡς
ἔοικεν, ὑπὸ Κηφισίου ἀπολοίμην. ἐγὼ δὲ ὦ Ἀθη-
ναῖοι οὐκ ἀξιῶ τοὺς θεοὺς τοιαύτην γνώμην ἔχειν,
ὥστ' εἰ ἐνόμιζον ὑπ' ἐμοῦ ἀδικεῖσθαι, λαμβάνοντάς
με ἐν τοῖς μεγίστοις κινδύνοις μὴ τιμωρεῖσθαι· τίς
γὰρ κίνδυνος μείζων ἀνθρώποις ἢ χειμῶνος ὥρᾳ
πλεῖν τὴν θάλατταν; ἐν οἷς ἔχοντες μὲν τὸ σῶμα
τοὐμόν, κρατοῦντες δὲ τοῦ βίου καὶ τῆς οὐσίας τῆς
138 ἐμῆς, εἶτα ἔσωζον; οὐκ ἐξῆν αὐτοῖς ποιῆσαι μηδὲ
ταφῆς τὸ σῶμα ἀξιωθῆναι; ἔτι δὲ πολέμου γενομέ-
νου καὶ τριήρων ἀεὶ κατὰ θάλατταν οὐσῶν καὶ
λῃστῶν, ὑφ' ὧν πολλοὶ ληφθέντες, ἀπολέσαντες τὰ
ὄντα, δουλεύοντες τὸν βίον διετέλεσαν, οὔσης δὲ
χώρας βαρβάρου, εἰς ἣν πολλοὶ ἤδη ἐκπεσόντες
κακοῖς τοῖς μεγίστοις περιέπεσον καὶ τὰ σφέτερα

μὲν post μάλιστα auct. R. add. Bk.

137. κατηγόρησαν δέ κτέ.] cf. [Lys.] 5, 19. — λαμβάνοντας μὲν W. — ὥρᾳ Bk.: ὥρα AB; ὥραν v.

138. οὐκ ἐξῆν] οὐ πεξὴν ALZ, unde οὔπερ ἦν Turr. (ὅτ' ἐξῆν mg. Ald.). — κακοῖς τοῖς μεγίστοις scripsi: αἰκίαις ταῖς μεγίσταις, quod e sequentibus manasse videtur (ἀτυχίαις τ. μ. Sl.; συμφοραῖς τ. μ. W.). — αἰκισθέντες cum Steph. Bk.: αἰκισθέν (τ written above) h. e. αἰκισθέντες A[d]; αἰκισθέντα v.

αὐτῶν σώματα αἰκισθέντες ἀπέθανον, — εἶτα οἱ 139
μὲν θεοὶ ἐκ τοσούτων κινδύνων ἔσωζόν με, σφῶν δὲ αὐτῶν προὐστήσαντο τιμωρὸν γενέσθαι Κηφίσιον τὸν πονηρότατον Ἀθηναίων, ὧν οὗτός φησι πολίτης εἶναι οὐκ ὤν, ᾧ οὐδ' ὑμῶν τῶν καθημένων οὐδεὶς ἂν ἐπιτρέψειεν οὐδὲν τῶν ἰδίων, εἰδὼς τοῦτον οἷός ἐστιν; ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, ἡγοῦμαι χρῆναι νομίζειν τοὺς τοιούτους κινδύνους ἀνθρωπίνους, τοὺς δὲ κατὰ θάλατταν θείους. εἴπερ οὖν δεῖ τὰ τῶν θεῶν ὑπονοεῖν, πάνυ ἂν αὐτοὺς οἶμαι ἐγὼ ὀργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ τοὺς ὑφ' ἑαυτῶν σῳζομένους ὑπ' ἄλλων ἀπολλυμένους ὁρῷεν.

Καὶ μὲν δὴ καὶ τάδε ὑμῖν ἄξιον ὦ ἄνδρες ἐνθυ- 140
μηθῆναι, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησιν ἄνδρες ἄριστοι καὶ εὐβουλότατοι δοκεῖτε γεγενῆσθαι οὐκ ἐπὶ τιμωρίαν τραπόμενοι τῶν γεγενημένων, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως καὶ ὁμόνοιαν τῶν πολιτῶν. συμφοραὶ μὲν γὰρ ἤδη καὶ ἄλλοις πολλοῖς ἐγένοντο οὐκ ἐλάττους ἢ καὶ ἡμῖν· τὸ δὲ τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, τοῦτ' εἰκότως ἤδη δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι. ἐπειδὴ τοίνυν παρὰ πάντων ὁμολογουμένως ταῦθ' ὑμῖν ὑπάρχει, καὶ εἴ τις φίλος ὢν τυγχάνει καὶ εἴ τις ἐχθρός, μὴ μεταγνῶτε, μηδὲ βούλεσθε τὴν πόλιν ἀποστερῆσαι ταύτης τῆς δόξης, μηδὲ αὐτοὶ δοκεῖν τύχῃ ταῦτα μᾶλλον ἢ γνώμῃ ψηφίσασθαι.

Δέομαι οὖν ἀπάντων (ὑμῶν) περὶ ἐμοῦ τὴν 141

139. malim *εἶτα αὐτοὶ μὲν οἱ θεοί.* — *ἐκ τοσούτων* Bk. cum ABLZ: *ἐκ τῶν τοσούτων.* — *πάνυ* ci. R.: *πολὺ* (*πολὺ μᾶλλον* ci. id.).

140. *ταῦθ'*] *τά θ'* ABLZ. — *βούλεσθε* cum R. Bk.: *βουλεύεσθε.*

141. post *ἀπάντων* addidi *ὑμῶν* cum R. —

αὐτὴν γνώμην ἔχειν, ἥνπερ καὶ περὶ τῶν ἐμῶν προγόνων, ἵνα κἀμοὶ ἐγγένηται ἐκείνους μιμήσασθαι, ἀναμνησθέντας αὐτῶν ὅτι ὅμοιοι τοῖς πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίοις τῇ πόλει γεγένηνται, πολλῶν ἕνεκεν σφᾶς αὐτοὺς παρέχοντες τοιούτους, μάλιστα δὲ τῆς εἰς ὑμᾶς εὐνοίας, (εἶτα) καὶ ὅπως εἴ ποτέ τις αὐτοῖς ἢ τῶν ἐξ ἐκείνων τινὶ κίνδυνος γένοιτο ἢ συμφορά, σῴζοιντο συγγνώμης παρ' ὑμῶν
142 *τυγχάνοντες. εἰκότως δ' ἂν αὐτῶν μεμνῆσθε· καὶ γὰρ τῇ πόλει ἁπάσῃ αἱ τῶν ἡμετέρων προγόνων ἀρεταὶ πλείστου ἄξιαι ἐγένοντο. ἐπειδὴ γὰρ ὦ ἄνδρες αἱ νῆες διεφθάρησαν, πολλῶν βουλομένων τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περιβαλεῖν, Λακεδαιμόνιοι ἔγνωσαν ὅμως τότε ἐχθροὶ ὄντες σῴζειν τὴν πόλιν διὰ τὰς ἐκείνων τῶν ἀνδρῶν ἀρετάς, οἳ*
143 *ὑπῆρξαν τῆς ἐλευθερίας ἁπάσῃ τῇ Ἑλλάδι. ἐπειδὴ τοίνυν καὶ ἡ πόλις ἐσώθη δημοσίᾳ διὰ τὰς τῶν προγόνων τῶν ἡμετέρων ἀρετάς, ἀξιῶ κἀμοὶ διὰ τὰς τῶν προγόνων τῶν ἐμῶν ἀρετὰς σωτηρίαν γενέσθαι. καὶ γὰρ αὐτῶν τῶν ἔργων, δι' ἅπερ ἡ πόλις ἐσώθη, οὐκ ἐλάχιστον μέρος οἱ ἐμοὶ πρόγονοι συνεβάλοντο· ὧν ἕνεκα καὶ ἐμοὶ δίκαιον ὑμᾶς μεταδοῦναι τῆς σωτηρίας, ἧσπερ καὶ αὐτοὶ παρὰ τῶν Ἑλλήνων ἐτύχετε.*

144 *Σκέψασθε τοίνυν καὶ τάδε, ἄν με σώσητε, οἷον ἕξετε πολίτην· ὃς πρῶτον μὲν ἐκ πολλοῦ πλούτου,*

ἀναμνησθέντας ABLZ Bk.: *ἀναμνησθέντες.* — (*εἶτα*) *καὶ* scripsi: ante *καὶ* lacunam IV litt. capacem habet A[d]. — *γένοιτο* Dobr.: *γένηται.*

142. *μεμνῆσθε* Bk. Dobr.: *μεμνῆσθαι* ABLZ; *μεμνῆσθε* v. ante Bk. — *ὑμετέρων* ci. R.; it. § 143. — *τὴν πόλιν*] *τῇ πόλει* pr. A. — *ὑπῆρξαν αἴτιοι* Z.

143. *κἀμοὶ*] *καί μοι* ABLZ.

ὅσον ὑμεῖς ἴστε, οὐ δι' ἐμαυτὸν ἀλλὰ διὰ τὰς τῆς πόλεως συμφορὰς εἰς πενίαν πολλὴν καὶ ἀπορίαν κατέστην, ἔπειτα δὲ καινὸν βίον εἰργασάμην ἐκ τοῦ δικαίου, τῇ γνώμῃ καὶ ταῖν χεροῖν ταῖν ἐμαυτοῦ· ἔτι δὲ εἰδότα μὲν οἷόν ἐστι πόλεως τοιαύτης πολίτην εἶναι, εἰδότα δὲ οἷόν ἐστι ξένον εἶναι καὶ μέτοικον ἐν τῇ τῶν πλησίον, | ἐπιστάμενον δὲ οἷον τὸ σωφρο- 145
νεῖν καὶ ὀρθῶς βουλεύεσθαι, ἐπιστάμενον δ' οἷον 19
τὸ ἁμαρτόντα πρᾶξαι κακῶς, πολλοῖς συγγενόμενος καὶ πλείστων πειραθείς, ἀφ' ὧν ἐμοὶ ξενίαι καὶ φιλότητες πρὸς πολλοὺς καὶ βασιλέας καὶ πόλεις καὶ ἄλλους ἰδίᾳ ξένους γεγένηνται, ὧν ἐμὲ σώσαντες μεθέξετε, καὶ ἔσται ὑμῖν χρῆσθαι τούτοις, ὅπου ἂν ἐν καιρῷ τι ὑμῖν γίγνηται. Ἔχει δὲ καὶ ὑμῖν ὦ 146
ἄνδρες οὕτως· ἐάν με νυνὶ διαφθείρητε, οὐκ ἔστιν ὑμῖν ἔτι λοιπὸς τοῦ γένους τοῦ ἡμετέρου οὐδείς, ἀλλ' οἴχεται πᾶν πρόρριζον. καίτοι οὐκ ὄνειδος ὑμῖν ἐστιν ἡ Ἀνδοκίδου καὶ Λεωγόρου οἰκία οὖσα, ἀλλὰ πολὺ μᾶλλον τότ' ἦν ὄνειδος, ὅτ' ἐμοῦ φεύγοντος Κλεοφῶν αὐτὴν ὁ λυροποιὸς ᾤκει. οὐ γάρ ἔστιν ὅστις πώποτε ὑμῶν παριὼν τὴν οἰκίαν τὴν ἡμετέραν ἀνεμνήσθη ἢ ἰδίᾳ τι ἢ δημοσίᾳ κακὸν παθὼν ὑπ' ἐκείνων, οἳ πλείστας μὲν στρατηγήσαντες στρα- 147
τηγίας πολλὰ τρόπαια τῶν πολεμίων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑμῖν ἀπέδειξαν, πλείστας δὲ

144. *καινὸν* Emp. (s. *πάλιν*): *καὶ* ABL v., *καὶ τὸν* Z. — *ἔτι δὲ* AB Bk.: *ἔτι*.

145. *συγγενόμενος* AB Bk.: *συγγενόμενον* (unde *πειραθέντα* ci. Steph.). — *γεγένηνται* Schi.: *γεγένηται*, quod def. Turr. — *ἔσται* ci. Steph.: *ἔστιν*. — *γίνηται* AB Bk.: *γένηται* (*τι* del. Cb.).

146. *ὑμετέρου* pr. A[d]. — *οἴχεται πᾶν πρόρριζον*] cf. Soph. El. 755. — *ὄνειδος ἡμῖν* A[d]. — *ἦν ὄνειδος* ABLZ Bk.: *αὖ ὄνειδος* (*ἦν ὄν.* ci. R.). — *ὑμετέραν* A[d].

ἄλλας ἀρχὰς ἄρξαντες καὶ χρήματα διαχειρίσαντες
τὰ ὑμέτερα οὐδένα πώποτε ὦφλον, οὐδ' ἡμάρτηται
οὐδὲν οὔτε ἡμῖν εἰς ὑμᾶς οὔτε ὑμῖν εἰς ἡμᾶς, οἰκία
δὲ πασῶν ἀρχαιοτάτη καὶ κοινοτάτη ἀεὶ τῷ δεομένῳ.
οὐδ' ἔστιν ὅπου ἐκείνων τις τῶν ἀνδρῶν καταστὰς
εἰς ἀγῶνα ἀπήτησεν ὑμᾶς χάριν τούτων τῶν ἔργων.
148 μὴ τοίνυν, εἰ αὐτοὶ τεθνᾶσι, καὶ περὶ τῶν πεπραγ-
μένων αὐτοῖς ἐπιλάθησθε, ἀλλ' ἀναμνησθέντες τῶν
ἔργων νομίσατε τὰ σώματα αὐτῶν ὁρᾶν αἰτουμένων
ἐμὲ παρ' ὑμῶν σῶσαι. τίνα γὰρ καὶ ἀναβιβάσομαι
δεησόμενον ὑπὲρ ἐμαυτοῦ; τὸν πατέρα; ἀλλὰ τέθνη-
κεν. ἀλλὰ τοὺς ἀδελφούς; ἀλλ' οὐκ εἰσίν. ἀλλὰ
149 τοὺς παῖδας; ἀλλ' οὔπω γεγένηνται. ὑμεῖς τοίνυν
καὶ ἀντὶ πατρὸς ἐμοὶ καὶ ἀντὶ ἀδελφῶν καὶ ἀντὶ
παίδων γένεσθε· εἰς ὑμᾶς καταφεύγω καὶ ἀντιβολῶ
καὶ ἱκετεύω· ὑμεῖς με παρ' ὑμῶν αὐτῶν αἰτησά-
μενοι σώσατε, καὶ μὴ βούλεσθε Θετταλοὺς καὶ
Ἀνδρίους πολίτας ποιεῖσθαι δι' ἀπορίαν ἀνδρῶν,
τοὺς δὲ ὄντας πολίτας ὁμολογουμένως, οἷς προσήκει
ἀνδράσιν ἀγαθοῖς εἶναι καὶ βουλόμενοι δυνήσονται,
τούτους δὲ ἀπόλλυτε. μὴ δῆτα. ἔπειτα καὶ ταῦθ'
ὑμῶν δέομαι, εὖ ποιῶν ὑμᾶς ὑφ' ὑμῶν τιμᾶσθαι.
ὥστ' ἐμοὶ μὲν πειθόμενοι οὐκ ἀποστερεῖσθε εἴ τι
ἐγὼ δυνήσομαι ὑμᾶς εὖ ποιεῖν· ἐὰν δὲ τοῖς ἐχθροῖς
τοῖς ἐμοῖς πεισθῆτε, οὐδ' ἂν ὑστέρῳ χρόνῳ ὑμῖν
150 μεταμελήσῃ, οὐδὲν ἔτι πλέον ποιήσετε. μὴ τοίνυν

147. οὐδὲν ἂν πώποτε libri (Schi.); del. ἂν Bk. — τῷ δεομένῳ AB Bk.: τῶν δεομένων.
148. περὶ ante πεπραγμ. mal. abesse Turr. — num ἀναβιβάσωμαι? — ἀλλὰ ante τοὺς ἀδ. add. AB Bk.
149. ὑμῶν] ὑμῖν AB. — Θετταλοὺς (μὲν) ci. Cb. — ἀνδρείους pr. A[d]. —οἷς καὶ προσήκει § 136. — ἀπολλύναι Cb. — ὥστ'] ὡς Dobr. — ἀποστερεῖσθαι ABL.

μήθ' ὑμᾶς αὐτοὺς τῶν ἀπ' ἐμοῦ ἐλπίδων ἀποστερήσητε μήτ' ἐμὲ τῶν εἰς ὑμᾶς. ἀξιῶ δ' ἔγωγε τούτους οἵτινες ὑμῖν ἀρετῆς ἤδη τῆς μεγίστης εἰς τὸ πλῆθος τὸ ὑμέτερον ἔλεγχον ἔδοσαν, ἀναβάντας ἐνταυθοῖ συμβουλεύειν ὑμῖν ἃ γιγνώσκουσι περὶ ἐμοῦ. Δεῦρο Ἄνυτε, Κέφαλε, ἔτι δὲ καὶ οἱ φυλέται οἱ ᾑρημένοι μοι συνδικεῖν, Θράσυλλος καὶ οἱ ἄλλοι.

2.

ΠΕΡΙ ΤΗΣ ΕΑΥΤΟΥ ΚΑΘΟΔΟΥ.

Εἰ μέν, ὦ ἄνδρες, ἐν ἑτέρῳ τῳ πράγματι οἱ 1
παριόντες μὴ τὴν αὐτὴν γνώμην ἔχοντες πάντες
ἐφαίνοντο, οὐδὲν ἂν θαυμαστὸν ἐνόμιζον· ὅπου
μέντοι δεῖ τὴν πόλιν ἐμέ τι ποιῆσαι ἀγαθόν, ἢ εἴ τις
ἕτερος βούλοιτο ἐμοῦ κακίων, δεινότατον ἁπάντων
χρημάτων ἡγοῦμαι, εἰ τῷ μὲν δοκεῖ ταῦτα τῷ δὲ
μή, ἀλλὰ μὴ πᾶσιν ὁμοίως. εἴπερ γὰρ ἡ πόλις
ἁπάντων τῶν πολιτευομένων κοινή ἐστι, καὶ τὰ
γιγνόμενα δήπου ἀγαθὰ τῇ πόλει κοινά ἐστι. τουτὶ 2
τοίνυν τὸ μέγα καὶ δεινὸν πάρεστιν ὑμῖν ὁρᾶν τοὺς
μὲν ἤδη πράττοντας, τοὺς δὲ τάχα μέλλοντας· καί
μοι μέγιστον θαῦμα παρέστηκε, τί ποτε οὗτοι οἱ
ἄνδρες δεινῶς οὕτως περικαίονται, εἴ τι ὑμᾶς χρὴ

150. ᾑρημένοι cum R. Bk.: εἰρημένοι.
Or. II. Π. Τ. ΕΑΥΤΟΥ ΚΑΘΟΔΟΥ] περὶ τῆς ἀδείας Harp. s. v. ὀρρωδεῖν.
1. ἢ εἴ τις A Turr.: εἴ τις. ἕτερος Dobr. Turr.: ἑτέρως.
2. ὑμῖν AB Bk.: ἡμῖν. — παρέστηκε Bk. (ci. R.): περέστηκε A[d]; περιέστηκε cett. — οὕτως A[d] Turr.: οὕτω. — περικναίονται Emp.; περικάονται Schi. — εἰ μὲν γὰρ Valck.; cf. § 19.

*ἀγαθὸν ἐμοῦ ἐπαυρέσθαι. δεῖ γὰρ αὐτοὺς ἤτοι
ἀμαθεστάτους εἶναι πάντων ἀνθρώπων, ἢ τῇ πόλει
ταύτῃ δυσμενεστάτους. εἰ μέν γε νομίζουσι τῆς
πόλεως εὖ πραττούσης καὶ τὰ ἴδια σφῶν αὐτῶν
ἄμεινον ἂν φέρεσθαι, ἀμαθέστατοί εἰσι τὰ ἐναντία*
3 *νῦν τῇ ἑαυτῶν ὠφελείᾳ σπεύδοντες· εἰ δὲ μὴ ταὐτὰ
ἡγοῦνται σφίσι τε αὐτοῖς συμφέρειν καὶ τῷ ὑμετέρῳ
κοινῷ, δυσμενεῖς ἂν τῇ πόλει εἶεν· οἵτινες εἰσαγγεί-
λαντός μου ἀπόρρητα εἰς τὴν βουλὴν περὶ τῶν
πραγμάτων, ὧν ἀποτελεσθέντων οὐκ εἰσὶ τῇ πόλει
ταύτῃ μείζονες ὠφέλειαι, καὶ τούτων ἀποδεικνύντος
μου τοῖς βουλευταῖς σαφεῖς τε καὶ βεβαίους τὰς
ἀποδείξεις, ἐκεῖ μὲν οὔτε τούτων τῶν ἀνδρῶν οἱ
παραγενόμενοι ἐλέγχοντες οἷοί τ' ἦσαν ἀποδεῖξαι εἴ
τι μὴ ὀρθῶς ἐλέγετο, οὔτ' ἄλλος οὐδείς, ἐνθάδε δὲ*
4 *νῦν πειρῶνται διαβάλλειν. σημεῖον οὖν τοῦτο ὅτι
οὗτοι οὐκ ἀφ' αὑτῶν ταῦτα πράττουσιν — εὐθὺς
γὰρ ἂν τότε ἠναντιοῦντο — ἀλλ' ἀπ' ἀνδρῶν ἑτέ-
ρων, οἷοί εἰσιν ἐν τῇ πόλει ταύτῃ, οὐδενὸς ἂν χρή-
ματος δεξάμενοι ὑμᾶς τι ἀγαθὸν ἐξ ἐμοῦ πρᾶξαι.
καὶ αὐτοὶ μὲν οὗτοι οἱ ἄνδρες οὐ τολμῶσι σφᾶς
αὐτοὺς εἰς τὸ μέσον καταστήσαντες δυσχυρίζεσθαι
περὶ τούτων, φοβούμενοι ἔλεγχον διδόναι εἴ τι εἰς
ὑμᾶς τυγχάνουσι μὴ εὖ φρονοῦντες· ἑτέρους δὲ
εἰσπέμπουσι, τοιούτους ἀνθρώπους οἷς εἰθισμένοις
ἤδη ἀναισχυντεῖν οὐδὲν διαφέρει εἰπεῖν τε καὶ*
5 *ἀκοῦσαι τὰ μέγιστα τῶν κακῶν. τὸ δ' ἰσχυρὸν
τοῦτο μόνον εὕροι τις ἂν αὐτῶν ἐν τοῖς λόγοις, τὰς*

3. malim *περὶ πραγμάτων* (ita Dobr.) s. *περὶ τοιούτων πραγμάτων*. — *ἐλέγχοντες* scr.: *ἐλέγξοντες* (*ἐλέγξαντες* cum Tayl. Turr.).
4. *τυγχάνουσι* cum AB add. Bk.

*ἐμὰς συμφορὰς ἐπὶ παντὶ ὀνειδίζειν, καὶ ταῦτα ἐν
εἰδόσι δήπου κάλλιον ὑμῖν, ὥστε μηδὲν ἂν τούτων
δικαίως τιμὴν αὐτοῖς τινα φέρειν. ἐμοὶ δέ, ὦ ἄνδρες,
καὶ τῷ πρώτῳ τοῦτο εἰπόντι ὀρθῶς δοκεῖ εἰρῆσθαι,
ὅτι πάντες ἄνθρωποι γίγνονται ἐπὶ τῷ εὖ καὶ κακῶς
πράττειν, μεγάλη δὲ δήπου καὶ τὸ ἐξαμαρτεῖν δυσ-
πραξία ἐστί, καὶ εἰσὶν εὐτυχέστατοι μὲν οἱ ἐλάχιστα* 6
*ἐξαμαρτάνοντες, σωφρονέστατοι δὲ οἳ ἂν τάχιστα
μεταγιγνώσκωσι. καὶ ταῦτα οὐ διακέκριται τοῖς μὲν
γίγνεσθαι τοῖς δὲ μή, ἀλλ' ἔστιν ἐν τῷ κοινῷ πᾶσιν
ἀνθρώποις καὶ ἐξαμαρτεῖν τι καὶ κακῶς πρᾶξαι. ὧν
ἕνεκα, ὦ Ἀθηναῖοι, εἰ ἀνθρωπίνως περὶ ἐμοῦ γιγνώ-
σκοιτε, εἴητε ἂν ἄνδρες εὐγνωμονέστεροι. οὐ γὰρ
φθόνου μᾶλλον ἢ οἴκτου ἄξιά μοί ἐστι τὰ γεγενη-
μένα· ὅς εἰς τοσοῦτον ἦλθον τῆς ἐμαυτοῦ δυσδαι-* 7
*μονίας, εἴτε χρὴ εἰπεῖν νεότητί τε καὶ ἀνοίᾳ, εἴτε
καὶ δυνάμει τῶν πεισάντων με ἐλθεῖν εἰς τοιαύτην
συμφορὰν τῶν φρενῶν, ὥστ' ἀνάγκην μοι γενέσθαι
δυοῖν κακοῖν τοῖν μεγίστοιν θάτερον ἑλέσθαι, ἢ μὴ
βουληθέντι κατειπεῖν τοὺς ταῦτα ποιήσαντας οὐ περὶ
ἐμοῦ μόνου ὀρρωδεῖν, εἴ τι ἔδει παθεῖν, ἀλλὰ καὶ
τὸν πατέρα οὐδὲν ἀδικοῦντα σὺν ἐμαυτῷ ἀποκτεῖναι
— ὅπερ ἀνάγκη παθεῖν ἦν αὐτῷ, εἰ ἐγὼ μὴ ἐβου-
λόμην ταῦτα ποιῆσαι —, ἢ κατειπόντι τὰ γεγενη-
μένα αὐτὸν μὲν ἀφεθέντα μὴ τεθνάναι, τοῦ δὲ*

5. *ὑμῖν* AB Bk.: *ἡμῖν*. — *καὶ* ante *τῷ πρώτῳ* del. Emp. — *τοῦτο* AB Bk.: *τούτῳ*. — *ἐπὶ τῷ* AB Bk.: *ἐπὶ τὸ*. — *εὖ καὶ κακῶς πράττειν* A Bk.: *εὖ κακῶς πρ.* B; *εὖ πρ. κακοί* v.
6. *μεταγινώσκουσι* ABZ.
7. Fort. cum Frohb.: *ἦλθον δυσδ.* — — *ἀνοίᾳ τῇ ἐμαυτοῦ*. — *βουληθέντα* ABZ, quod def. Kl, sed cf. infra *κατειπόντι*. — *μόνου* AZ Bk.: *μόνον*. — *ὀρρωδεῖν*] cf. Harp. s. v.: *ὀ. ἀντὶ τοῦ φοβεῖσθαι Ἀ. ἐν τῷ π. τ. ἀδείας*. — *ἀφεθέντα* A[d] et cum R. Bk.: *ἀφέντα*.

ἐμαυτοῦ πατρὸς μὴ φονέα γενέσθαι. τί δ' ἂν οὐ
8 πρό γε τούτου τολμήσειεν ἄνθρωπος ποιῆσαι; ἐγὼ
τοίνυν ἐκ τῶν παρόντων εἱλόμην ταῦτα, ἃ ἐμοὶ μὲν
λύπας ἐπὶ χρόνον πλεῖστον οἴσειν ἔμελλεν, ὑμῖν δὲ
ταχίστην τοῦ παρόντος τότε κακοῦ μετάστασιν.
ἀναμνήσθητε δὲ ἐν οἵῳ κινδύνῳ τε καὶ ἀμηχανίᾳ
καθέστατε, καὶ ὅτι οὕτω σφόδρα σφᾶς αὐτοὺς ἐπε-
φόβησθε, ὥστ' οὐδ' εἰς τὴν ἀγορὰν ἔτι ἐξῄειτε,
ἕκαστος ὑμῶν οἰόμενος συλληφθήσεσθαι. ταῦτα
τοίνυν ὥστε μὲν γενέσθαι τοιαῦτα, πολλοστὸν δή τι
ἐγὼ μέρος τῆς αἰτίας εὑρέθην ἔχων, ὥστε μέντοι
9 παυθῆναι, ἐγὼ εἷς ὢν μόνος αἴτιος. καὶ ὅμως τό
γε δυστυχέστατος εἶναι ἀνθρώπων οὐδαμῇ ἐκφεύγω,
ὅτε δὴ προαγομένης μὲν τῆς πόλεως ἐπὶ ταύτας τὰς
συμφορὰς οὐδεὶς ἐμοῦ ἤρχετο γίγνεσθαι δυσδαιμο-
νέστερος, μεθισταμένης δὲ πάλιν εἰς τὸ ἀσφαλὲς
ἁπάντων ἐγὼ ἀθλιώτατος. ὄντων γὰρ κακῶν τοσού-
των τῇ πόλει ἀδύνατον ἦν ταῦτα ἰαθῆναι ἄλλως ἢ
21 τῷ ἐμῷ αἰσχρῷ, | ὥστ' ἐν αὐτῷ ᾧ ἐγὼ κακῶς
ἔπραττον ἐν τούτῳ ὑμᾶς σῴζεσθαι. χάριν οὖν εἰκός
με, οὐ μῖσος τῷ δυστυχήματι τούτῳ φέρεσθαι παρ'
ὑμῶν.

10 Καίτοι ἐγὼ τότ' αὐτὸς γνοὺς τὰς ἐμαυτοῦ συμφοράς, ᾧ τινι κακῶν τε καὶ αἰσχρῶν οὐκ οἶδ' εἴ τι ἀπεγένετο, τὰ μὲν παρανοίᾳ τῇ ἐμαυτοῦ, τὰ δ' ἀνάγκῃ τῶν παρόντων πραγμάτων, ἔγνων ἥδιστον εἶναι πράττειν τε τοιαῦτα καὶ διαιτᾶσθαι ἐκεῖ, ὅπου ἥκιστα μέλλοιμι ὀφθήσεσθαι ὑφ' ὑμῶν. ἐπειδὴ δὲ χρόνῳ ὕστερον εἰσῆλθέ μοι, ὥσπερ εἰκός, ἐπιθυμία τῆς τε μεθ' ὑμῶν πολιτείας ἐκείνης καὶ διαίτης, ἐξ

10. ὕστερον in mg. add. A[d]. — num πολιτ. καὶ διαίτης ἐκείνης? —

ης δευρὶ μετέστην, ἔγνων λυσιτελεῖν μοι ἢ τοῦ βίου ἀπηλλάχθαι, ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι τοσοῦτον ἐργάσασθαι, ὥστε ὑμῶν ἑκόντων εἶναί ποτέ μοι πολιτεύσασθαι μεθ' ὑμῶν. ἐκ δὲ τούτου οὐ πώποτε 11
οὔτε τοῦ σώματος οὔτε τῶν ὄντων ἐμοὶ ἐφεισάμην, ὅπου ἔδει παρακινδυνεύειν· ἀλλ' αὐτίκα μὲν τότε εἰσήγαγον εἰς στρατιὰν ὑμῶν οὖσαν ἐν Σάμῳ κωπέας, τῶν τετρακοσίων ἤδη τὰ πράγματα ἐνθάδε κατειληφότων, ὄντος μοι Ἀρχελάου ξένου πατρικοῦ καὶ διδόντος τέμνεσθαί τε καὶ ἐξάγεσθαι ὁπόσους ἐβουλόμην. τούτους τε εἰσήγαγον τοὺς κωπέας, καὶ παρόν μοι πέντε δραχμῶν τὴν τιμὴν αὐτῶν δέξασθαι οὐκ ἠθέλησα πράξασθαι πλέον ἢ ὅσου ἐμοὶ κατέστησαν, εἰσήγαγον δὲ σῖτόν τε καὶ χαλκόν· καὶ οἱ 12
ἄνδρες ἐκεῖνοι ἐκ τούτων παρεσκευασμένοι ἐνίκησαν μετὰ ταῦτα Πελοποννησίους ναυμαχοῦντες, καὶ τὴν πόλιν ταύτην μόνοι ἀνθρώπων ἔσωσαν ἐν τῷ τότε χρόνῳ. εἰ τοίνυν μεγάλων ἀγαθῶν αἴτια ὑμᾶς εἰργάσαντο ἐκεῖνοι, μέρος ἐγὼ οὐκ ἂν ἐλάχιστον δικαίως ταύτης τῆς αἰτίας ἔχοιμι. εἰ γὰρ τοῖς ἀνδράσιν ἐκείνοις τότε τὰ ἐπιτήδεια μὴ εἰσήχθη, οὐ περὶ τοῦ σῶσαι τὰς Ἀθήνας ὁ κίνδυνος ἦν αὐτοῖς μᾶλλον ἢ περὶ τοῦ μηδὲ αὐτοὺς σωθῆναι. Τούτων τοίνυν 13
οὕτως ἐχόντων οὐκ ὀλίγῳ μοι παρὰ γνώμην εὑρέθη τὰ ἐνταῦθα πράγματα ἔχοντα. κατέπλευσα μὲν γὰρ ὡς ἐπαινεθησόμενος ὑπὸ τῶν ἐνθάδε προθυμίας τε εἵνεκα καὶ ἐπιμελείας τῶν ὑμετέρων πραγμάτων·

ἔγνω λυσιτ. ABZ. — πολιτεύσασθαι AB Bk.: πολιτεύεσθαι.

11. τέμνεσθαι cum Dobr. Turr.: γενέσθαι. — ὁπόσους AB Bk.: ὁπόσα. — τούτους] τοὺς BZ. — ὅσου A Bk. (ci. R.): ὅσον.

12. αἴτια scripsi: ἄξια. — τῆς αἰτίας ABZ Bk.: ἀξίας.

πυθόμενοι δέ τινές με ἥκοντα τῶν τετρακοσίων ἐζή-
τουν τε παραχρῆμα, καὶ λαβόντες ἤγαγον εἰς τὴν
14 βουλήν. εὐθὺς δὲ παραστάς μοι Πείσανδρος „ἄνδρες“
ἔφη „βουλευταί, ἐγὼ τὸν ἄνδρα τοῦτον ἐνδεικνύω
ὑμῖν σῖτόν τε εἰς τοὺς πολεμίους εἰσαγαγόντα καὶ
κωπέας.“ καὶ τὸ πρᾶγμα ἤδη πᾶν διηγεῖτο ὡς ἐπέ-
πρακτο. ἐν δὲ τῷ τότε τὰ ἐναντία φρονοῦντες δῆλοι
ἦσαν ἤδη οἱ ἐπὶ στρατιᾶς ὄντες τοῖς τετρακοσίοις.
15 κἀγώ, θόρυβος γὰρ δὴ τοιοῦτος ἐγίγνετο τῶν βου-
λευτῶν, ἐπειδὴ ἐγίγνωσκον ἀπολούμενος, εὐθὺς
προσπηδῶ πρὸς τὴν ἑστίαν καὶ λαμβάνομαι τῶν
ἱερῶν. ὅπερ μοι καὶ πλείστου ἄξιον ἐγίγνετο ἐν τῷ
τότε· εἰς γὰρ τοὺς θεοὺς ἔχοντα ὀνείδη οὗτοί με
μᾶλλον τῶν ἀνθρώπων ἐοίκασι κατελεῆσαι, βουλη-
θέντων τε αὐτῶν ἀποκτεῖναί με οὗτοι ἦσαν οἱ δια-
σώσαντες. δεσμά τε ὕστερον καὶ κακὰ ὅσα τε καὶ
οἷα τῷ σώματι ἠνεσχόμην, μακρὸν ἂν εἴη μοι λέγειν.
16 οὗ δὴ καὶ μάλιστ' ἐμαυτὸν ἀπωλοφυράμην· ὅστις
τοῦτο μὲν ἐν ᾧ ἐδόκει ὁ δῆμος κακοῦσθαι, ἐγὼ ἀντὶ
τούτου κακὰ εἶχον, τοῦτο δὲ ἐπειδὴ ἐφαίνετο εὖ ὑπ'
ἐμοῦ πεπονθώς, πάλιν αὖ καὶ διὰ τοῦτ' ἐγὼ ἀπο-
λοίμην· ὥστε ὁδόν τε καὶ πόρον μηδαμῇ ἔτι εἶναί
μοι εὐθαρσεῖν· ὅποι γὰρ τραποίμην, πάντοθεν κακόν
τί μοι ἐφαίνετο ἑτοιμαζόμενον. ἀλλ' ὅμως καὶ ἐκ
τούτων τοιούτων ὄντων ἀπαλλαγεὶς οὐκ ἔστιν ὅ τι

14. (καὶ χαλκὸν) καὶ κωπέας coll. § 11 Meier. — ἐπὶ στρατιᾶς A[d] Turr.: ἐπὶ στρατείας.
15. ἐπειδὴ cum R. Turr.: καὶ ἐπειδή. — ἔχοντα ὀνείδη οὗτοί με S. Turr.: εἶχον τὰ ὀν. οὗτοι, οἵ με.
16. τοῦτο μὲν] τούτῳ μὲν AB. — εὖ om. ABZ. — ἀπολοίμην] ἀπωλλύμην mal. Bk.; immo, si quid mutandum, εἰ ante πάλιν αὖ addendum est. — ὅποι cum R. Bk.: ὅπου.
ἕτερον
— οὐκ ἔστιν ὅτι ἕτερον scripsi: οὐκ ἔστιν ὅτι ἔργον A; οὐκ ἔστιν ὅτι ἕτερον ἔργον BZ Bk.; οὐκέτι ἕτερον v.

ἕτερον [ἔργον] περὶ πλείονος ἐποιούμην ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι ἐργάσασθαι.

Ὁρᾶν δὲ χρή, ὦ Ἀθηναῖοι, ὅσῳ τὰ τοιαῦτα τῶν 17
ὑπουργημάτων διαφέρει. τοῦτο μὲν γὰρ ὅσοι τῶν πολιτῶν τὰ ὑμέτερα πράγματα διαχειρίζοντες ἀργύριον ὑμῖν ἐκπορίζουσιν, ἄλλο τι ἢ τὰ ὑμέτερα ὑμῖν διδόασι; τοῦτο δὲ ὅσοι στρατηγοὶ γενόμενοι καλόν τι τὴν πόλιν κατεργάζονται, τί ἄλλο ἢ μετὰ τῆς τῶν ὑμετέρων σωμάτων ταλαιπωρίας τε καὶ κινδύνων, 22
καὶ ἔτι τῶν κοινῶν χρημάτων δαπάνης, ποιοῦσιν ὑμᾶς εἴ τι τυγχάνουσιν ἀγαθόν; ἐν ᾧ καὶ ἄν τι ἐξαμάρτωσιν οὐκ αὐτοὶ τῆς σφετέρας αὐτῶν ἁμαρτίας δίκην διδόασιν, ἀλλ' ὑμεῖς ὑπὲρ τῶν ἐκείνοις ἡμαρτημένων. ἀλλ' ὅμως οὗτοι στεφανοῦνταί γε 18
ὑφ' ὑμῶν καὶ ἀνακηρύττονται ὡς ὄντες ἄνδρες ἀγαθοί. καὶ οὐκ ἐρῶ ὡς οὐ δικαίως· μεγάλη γάρ ἐστιν ἀρετή, ὅστις τὴν ἑαυτοῦ πόλιν ὁτῳοῦν δύναται τρόπῳ ἀγαθόν τι ἐργάζεσθαι. ἀλλ' οὖν γιγνώσκειν γε χρὴ ὅτι ἐκεῖνος ἂν εἴη πολὺ πλείστου ἄξιος ἀνήρ, ὅστις τοῖς ἑαυτοῦ παρακινδυνεύων χρήμασί τε καὶ σώματι τολμῴη ἀγαθόν τι ποιεῖν τοὺς ἑαυτοῦ πολίτας.

Ἐμοὶ τοίνυν τὰ μὲν ἤδη εἰς ὑμᾶς πεπραγμένα 19
σχεδόν τι ἅπαντες ἂν εἰδείητε, τὰ δὲ μέλλοντά τε καὶ ἤδη πραττόμενα ἄνδρες ὑμῶν πεντακόσιοι ἐν

17. χρὴ add. A[d] BZ Bk. — γὰρ post τοῦτο μὲν add. AB Bk. — τῆς ante τῶν ὑμετ. σωμ. add. AB Bk. — δαπάνης
οἷς
A Bk. (ci. Sl.): δαπαν B; δαπανᾶν v.

18. στεφανοῦνταί τε Sl. (cf. § 20). — γινώσκειν cum R. Bk.: τι γινώσκειν. — πολὺ πλείστου B et corr. A: πολλοῦ πλείστου Z et pr. A; πλείστου v. (Bk.). — τοῖς ἑαυτοῦ πολίταις pr. A[d].

19. ἡ βουλὴ del. Valck.; def. Scheibe. —

ἀποῤῥήτῳ ἴσασιν, ἡ βουλή· οὓς πολλῷ δήπου εἰκὸς ἧττον ἄν τι ἐξαμαρτεῖν, ἢ εἰ ὑμᾶς δέοι ἀκούσαντάς τι ἐν τῷ παραχρῆμα νῦν διαβουλεύσασθαι. οἵ μέν γε σχολῇ περὶ τῶν εἰσαγγελλομένων σκοποῦνται, ὑπάρχει τε αὐτοῖς, ἐάν τι ἐξαμαρτάνωσιν, αἰτίαν ἔχειν καὶ λόγον αἰσχρὸν ἐκ τῶν ἄλλων πολιτῶν· ὑμῖν δὲ οὐκ εἰσὶν ἕτεροι ὑφ' ὧν αἰτίαν (ἂν) ἔχοιτε· τὰ γὰρ ὑμέτερα αὐτῶν ἐφ' ὑμῖν δικαίως ἐστὶ καὶ
20 εὖ καὶ κακῶς, ἐὰν βούλησθε, διαθέσθαι. ἅ γε μέντοι ἔξω τῶν ἀποῤῥήτων οἷόν τέ μοί ἐστιν εἰπεῖν εἰς ὑμᾶς ἤδη πεπραγμένα, ἀκούσεσθε. ἐπίστασθε γάρ που ὡς ἠγγέλθη ὑμῖν ὅτι οὐ μέλλει ἐκ Κύπρου σῖτος ἥξειν ἐνταῦθα· ἐγὼ τοίνυν τοιοῦτός τε καὶ τοσοῦτος ἐγενόμην, ὥστε τοὺς ἄνδρας τοὺς ταῦτα βουλεύσαντας ἐφ' ὑμῖν καὶ πράξαντας ψευσθῆναι τῆς αὐτῶν
21 γνώμης. καὶ ὡς μὲν ταῦτα διεπράχθη, οὐδὲν προὔργου ἀκοῦσαι ὑμῖν· τὰ δὲ νυνὶ βούλομαι ὑμᾶς εἰδέναι, ὅτι αἵ (μὲν) μέλλουσαι νῆες ἤδη σιταγωγοὶ καταπλεῖν εἰς τὸν Πειραιᾶ εἰσιν ὑμῖν τέτταρες καὶ δέκα, αἱ δὲ λοιπαὶ τῶν ἐκ Κύπρου ἀναχθεισῶν ἥξουσιν ἀθρόαι οὐ πολὺ ὕστερον. ἐδεξάμην δ' (ἂν) ἀντὶ πάντων χρημάτων εἶναι ἐν ἀσφαλεῖ φράσαι πρὸς ὑμᾶς ἃ καὶ τῇ βουλῇ ἐν ἀποῤῥήτῳ εἰσήγγειλα,
22 ὅπως αὐτόθεν προῄδειτε. νῦν δὲ ἐκεῖνα μὲν τότε ὅταν ἀποτελεσθῇ γνώσεσθε ἅμα καὶ ὠφεληθήσεσθε· νῦν δέ, ὦ Ἀθηναῖοι, εἴ μοι βουληθείητε δοῦναι χάριν μικράν τε καὶ ἄπονον ὑμῖν καὶ ἅμα δικαίαν,

εἰκὸς] εἰς ABZ. — οἵ μέν γε] si § 2, hic quoque μὲν γὰρ scribendum erit. — ἂν post αἰτίαν cum Dobr. add. Turr.

20. οἷόν τε cum Steph. Bk.: οἷόν γε. — ἠγγέλθη ὑμῖν cum Valck. Turr.: ἠγγ. ἡμῖν. — αὐτῶν Turr.: αὐτῶν.

21. (ἂν) ἀντὶ cum Dobr. Turr.: ἀντὶ v. Schi.; ἂν cum *R. Bk.* — προῄδειτε Bk.: προειδῆτε.

πάνυ ἄν μοι τοῦτο ἐν μεγάλῃ ἡδονῇ γένοιτο. ὡς δὲ καὶ δικαία ἐστίν, εἴσεσθε. ἃ γάρ μοι αὐτοὶ γνόντες τε καὶ ὑποσχόμενοι ἔδοτε, ὕστερον δὲ ἑτέροις πειθόμενοι ἀφείλεσθε, ταῦθ' ὑμᾶς, εἰ μὲν βούλεσθε, αἰτῶ, εἰ δὲ [μὴ] βούλεσθε, ἀπαιτῶ. ὁρῶ δὲ ὑμᾶς 23
πολλάκις καὶ δούλοις ἀνθρώποις καὶ ξένοις παντοδαποῖς πολιτείαν διδόντας τε καὶ εἰς χρήματα μεγάλας δωρεάς, οἳ ἂν ὑμᾶς φαίνωνται ποιοῦντές τι ἀγαθόν. καὶ ταῦτα μέντοι ὀρθῶς ὑμεῖς φρονοῦντες δίδοτε· οὕτω γὰρ ἂν ὑπὸ πλείστων ἀνθρώπων εὖ πάσχοιτε. ἐγὼ τοίνυν τοσοῦτον ὑμῶν μόνον δέομαι· τὸ ψήφισμα ὃ Μενίππου εἰπόντος ἐψηφίσασθε, εἶναί μοι ἄδειαν, πάλιν ἀπόδοτε. ἀναγνώσεται δὲ ὑμῖν αὐτό· ἔτι γὰρ καὶ νῦν ἐγγέγραπται ἐν τῷ βουλευτηρίῳ.

ΨΗΦΙΣΜΑ.

Τουτὶ τὸ ψήφισμα ο ἠκούσατε ψηφισάμενοί μοι, 24
ὦ Ἀθηναῖοι, ὕστερον ἀφείλεσθε χάριν ἑτέρῳ φέροντες. πείθεσθε οὖν μοι, καὶ ἤδη παύσασθε εἴ τῳ ὑμῶν διάβολόν τι ἐν τῇ γνώμῃ περὶ ἐμοῦ παρέστηκεν. εἰ γὰρ ὅσα οἱ ἄνθρωποι (τῇ) γνώμῃ ἁμαρτάνουσι, τὸ σῶμα αὐτῶν μὴ αἴτιόν ἐστιν, ἐμοῦ τὸ μὲν σῶμα τυγχάνει ταὐτὸν ἔτι ὄν, ὅπερ τῆς αἰτίας ἀπήλλακται, ἡ δὲ γνώμη ἀντὶ τῆς προτέρας ἑτέρα νυνὶ παρέστηκεν. οὐδὲν οὖν ἔτι ὑπολείπεται ὅτῳ ἄν μοι δικαίως διαβεβλῆσθε. ὥσπερ δὲ τῆς τότε 25

22. μὴ ante βούλεσθε cum R. delendum videtur.
23. παντοδαπῆς v., em. cum. Steph. R. — πολιτείαν cum R. (qui et πολ. τε διδ. καὶ ci.) Turr.: πολιτείας. — ἀναγέγραπται Sl.
24. τῇ γνώμῃ scripsi: . . γνώμῃ A[d], γνώμῃ v. — ἐμοῦ τὸ μὲν cum R. Bk.: ὁμοῦ τὸ μέν. — ταὐτὸν ἔτι ὂν Bk. (ταὐτὸν ὂν ci. R.): τοῦτ' ἀναίτιον. — διαβεβλῆσθαι ABZ.

ἁμαρτίας τὰ ἀπὸ τῶν ἔργων σημεῖα ἔφατε χρῆναι
πιστότατα ποιούμενοι κακόν με ἄνδρα ἡγεῖσθαι,
οὕτω καὶ ἐπὶ τῇ νῦν εὐνοίᾳ μὴ ζητεῖτε ἑτέραν βά-
σανον ἢ τὰ ἀπὸ τῶν νυνὶ ἔργων σημεῖα ὑμῖν γιγνό-
25 μενα. πολὺ δέ μοι προσήκει ταῦτα μᾶλλον | ἐκείνων
26 καὶ τῷ γένει συνηθέστερά ἐστι. τάδε γὰρ οὐ ψευσα-
μένῳ μοι λαθεῖν οἷόντ' ἐστι τούς γε πρεσβυτέρους
ὑμῶν, ὅτι ὁ τοῦ ἐμοῦ πατρὸς πάππος Λεωγόρας
στασιάσας πρὸς τοὺς τυράννους ὑπὲρ τοῦ δήμου,
ἐξὸν αὐτῷ διαλλαχθέντι τῆς ἔχθρας καὶ γενομένῳ
κηδεστῇ ἄρξαι μετ' ἐκείνων τῶν ἀνδρῶν τῆς πόλεως,
εἵλετο μᾶλλον ἐκπεσεῖν μετὰ τοῦ δήμου καὶ φεύγων
κακοπαθεῖν μᾶλλον ἢ προδότης αὐτῶν καταστῆναι.
ὥστ' ἔμοιγε καὶ διὰ τὰ τῶν προγόνων ἔργα εἰκότως
ὑπάρχει δημοτικῷ εἶναι, εἴπερ τι ἀλλὰ νῦν γε φρο-
νῶν τυγχάνω. ὧν καὶ ἕνεκα εἰκὸς ὑμᾶς, ἐὰν χρη-
στὸς ὢν ἀνὴρ εἰς ὑμᾶς φαίνωμαι, προθυμότερόν
27 μου ἀποδέχεσθαι τὰ πραττόμενα. τὸ δὲ δόντας ἐμοὶ
τὴν ἄδειαν ἀφελέσθαι ὑμᾶς, εὖ ἴστε ὅτι οὐδεπώποτε
ἠγανάκτησα· ὅπου γὰρ ὑπὸ τῶν ἀνδρῶν τούτων
αὐτοὶ εἰς ὑμᾶς αὐτοὺς ἐπείσθητε τὰ μέγιστα ἐξα-
μαρτεῖν, ὥστε ἀντὶ τῆς ἀρχῆς δουλείαν ἀλλάξασθαι,
ἐκ δημοκρατίας δυναστείαν καταστήσαντες, τί ἂν
τις ὑμῶν θαυμάζοι καὶ εἰς ἐμὲ εἴ τι ἐπείσθητε ἐξα-
28 μαρτεῖν; βουλοίμην μέντ' ἄν, ὥσπερ ἐν τοῖς ὑμετέ-
ροις αὐτῶν πράγμασιν, ἐπειδὴ ἐξουσίαν ἐλάβετε,
τὰς τῶν ἐξαπατησάντων ὑμᾶς ἀκύρους ἔθετε βουλάς,
οὕτω καὶ ἐν ᾧ περὶ ἐμοῦ ἐπείσθητε γνῶναί τι ἀνε-

25. ζητῆτε A.
26. πατρὸς πάππος cum Valck. Turr.: πατρὸς πρόπαππος. cf. 1, 106. — ἀλλὰ νῦν γε Bk.: ἄλλο νῦν γε.
27. θαυμάζει ABZ.

πιτήδειον, ἀτελῆ τὴν γνώμην αὐτῶν ποιῆσαι, καὶ μήτε ἐν τούτῳ μήτε ἐν ἑτέρῳ τῳ τοῖς ὑμῶν αὐτῶν ἐχθίστοις ὁμόψηφοί ποτε γένησθε.

3.

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥΣ ΕΙΡΗΝΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Τοῦ Ἑλληνικοῦ μηκυνομένου πολέμου, καὶ πολλὰ μὲν Ἀθηναίων κακὰ πολλὰ δὲ Λακεδαιμονίων ὑπομεινάντων καὶ τῶν ἑκατέρων συμμάχων, Ἀθηναῖοι πρέσβεις ἀπέστειλαν πρὸς Λακεδαιμονίους αὐτοκράτορας· ὧν ἐστι καὶ Ἀνδοκίδης. τινῶν δὲ προταθέντων παρὰ Λακεδαιμονίων, καὶ ἀποστειλάντων κἀκείνων ἰδίους πρέσβεις, ἔδοξεν ὥστε εἴσω τεσσαράκοντα ἡμερῶν ἐπιβουλεύσασθαι τὸν δῆμον περὶ τῆς εἰρήνης. καὶ ἐπὶ τούτοις Ἀνδοκίδης συμβουλεύει τοῖς Ἀθηναίοις καταδέξασθαι τὴν εἰρήνην. Ἔστι μὲν οὖν συμβουλῆς τὸ εἶδος· κεφάλαιον τὸ συμφέρον. Φιλόχορος μὲν οὖν λέγει καὶ ἐλθεῖν τοὺς πρέσβεις ἐκ Λακεδαιμονίας, καὶ ἀπράκτους ἀνελθεῖν μὴ πείσαντος τοῦ Ἀνδοκίδου· ὁ δὲ Διονύσιος νόθον εἶναι λέγει τὸν λόγον.

Ὅτι μὲν εἰρήνην ποιεῖσθαι δικαίαν ἄμεινόν ἐστιν 1 *ἢ πολεμεῖν, δοκεῖτέ μοι ὦ Ἀθηναῖοι πάντες γιγνώσκειν· ὅτι δὲ οἱ ῥήτορες τῷ μὲν ὀνόματι τῆς εἰρήνης συγχωροῦσι, τοῖς δ' ἔργοις ἀφ' ὧν ἡ εἰρήνη γένοιτο (ἂν) ἐναντιοῦνται, τοῦτο δὲ οὐ πάντες αἰσθάνεσθε. λέγουσι γὰρ ὡς ἔστι δεινότατον τῷ*

Or. III. *Π. Τ. ΠΡΟΣ ΛΑΚ. ΕΙΡΗΝΗΣ*] *περὶ τῆς εἰρήνης* Harp. et Vit. § 13. — *ΥΠΟΘ.*] *ἐπιβουλεύσασθαι*] *βουλεύσασθαι* S. — *δὲ* post *κεφάλαιον* add. v. ante Bk. (Dobs.). — *ἐπανελθεῖν* Reiskiana. — *διόνυσος* AB.

1. *πάντες* et *δὲ* post *τοῦτο* add. AB Bk. — *ἂν* add. Dobr.

δήμῳ, γενομένης εἰρήνης, ἡ νῦν οὖσα πολιτεία μὴ
2 καταλυθῇ. εἰ μὲν οὖν μηδεπώποτε πρότερον ὁ
δῆμος ὁ τῶν Ἀθηναίων εἰρήνην ἐποιήσατο πρὸς
Λακεδαιμονίους, εἰκότως ἂν ἐφοβούμεθα αὐτὸ διά
τε τὴν ἀπειρίαν τοῦ ἔργου διά τε τὴν ἐκείνων
ἀπιστίαν· ὅπου δὲ πολλάκις ἤδη πρότερον εἰρήνην
ἐποιήσασθε δημοκρατούμενοι, πῶς οὐκ εἰκὸς ὑμᾶς
πρῶτον ἐκεῖνα σκέψασθαι τὰ τότε γενόμενα; χρὴ
γὰρ ὦ Ἀθηναῖοι τεκμηρίοις χρῆσθαι τοῖς πρότερον
3 γενομένοις περὶ τῶν μελλόντων ἔσεσθαι. Ἡνίκα
τοίνυν ἦν μὲν ὁ πόλεμος ἡμῖν ἐν Εὐβοίᾳ, Μέγαρα
δὲ εἴχομεν καὶ Πηγὰς καὶ Τροιζῆνα, εἰρήνης ἐπεθυ-
μήσαμεν, καὶ Μιλτιάδην τὸν Κίμωνος ὠστρακισμέ-
νον καὶ ὄντα ἐν Χερρονήσῳ κατεδεξάμεθα δι' αὐτὸ
τοῦτο, πρόξενον ὄντα Λακεδαιμονίων, ὅπως πέμψαι-
μεν ἐς Λακεδαίμονα προκηρυκευσόμενον περὶ σπον-
4 δῶν. καὶ τότε ἡμῖν εἰρήνη ἐγένετο πρὸς | Λακεδαι-
24 μονίους ἔτη πεντήκοντα, καὶ ἐνεμείναμεν ἀμφότεροι
ταύταις ταῖς σπονδαῖς ἔτη τριακαίδεκα. ἓν δὴ τοῦτο,
ὦ Ἀθηναῖοι, πρῶτον σκεψώμεθα. ἐν ταύτῃ τῇ
εἰρήνῃ ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἔσθ' ὅπου κατε-
λύθη; οὐδεὶς ἀποδείξει. ἀγαθὰ δὲ ὅσα ἐγένετο διὰ
5 ταύτην τὴν εἰρήνην, ἐγὼ ὑμῖν φράσω. πρῶτον μὲν

2. πρότερον add. AB Bk. — τῶν ante Ἀθ. del. W., item 4. 10. — ἔργου διά τε AB Bk.: ἔ. καὶ διὰ. — ἐποιήσασθε cum R. Turr.: ἐποιήσατε. — vv. χρὴ γὰρ — ἔσεσθαι affert Clem. Alex. Str. VI p. 747 (om. ὦ Ἀθ.), et inde Theodoret. Serm. VI p. 581 A.

3. Hunc totum locum (§§ 3—9) omissis quibusdam vel mutatis in suum usum convertit Aeschin. 2 § 172—176. — nonne ὁ ἐν Εὐβοίᾳ? — Πηγὰς] cf. Harp.: Πηγαί· Ἀ. ἐν τῷ περὶ εἰρήνης, εἰ γνήσιος. — Κίμωνα τὸν Μιλτιάδου et ap. Andoc. et ap. Aesch. restitui vol. Kirchner et Mitford. ap. Dobr. — πέμψαιεν ἐς AB.

4. ὑμῖν A^d. — πεντήκοντα cum Aesch. Tayl. (Turr): πέντε, quod tuetur Dobr. — ἡμῖν A^d.

τὸν Πειραιᾶ τότε ἐτειχίσαμεν ἐν τούτῳ τῷ χρόνῳ, εἶτα τὸ μακρὸν τεῖχος τὸ βόρειον· ἀντὶ δὲ τῶν τριήρων αἳ τότε ἡμῖν ἦσαν παλαιαὶ καὶ ἄπλοι, αἷς βασιλέα καὶ βαρβάρους καταναυμαχήσαντες ἠλευθερώσαμεν τοὺς Ἕλληνας, ἀντὶ τούτων τῶν νεῶν ἑκατὸν τριήρεις ἐναυπηγησάμεθα, καὶ πρῶτον τότε τριακοσίους ἱππεῖς κατεστησάμεθα καὶ τοξότας τριακοσίους Σκύθας ἐπριάμεθα. καὶ ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῶν Ἀθηναίων ἐγένετο. Μετὰ δὲ 6
ταῦτα δι' Αἰγινήτας εἰς πόλεμον κατέστημεν, καὶ πολλὰ (μὲν) κακὰ παθόντες πολλὰ δὲ ποιήσαντες ἐπεθυμήσαμεν πάλιν τῆς εἰρήνης, καὶ ᾑρέθησαν δέκα ἄνδρες ἐξ Ἀθηναίων ἁπάντων πρέσβεις εἰς Λακεδαίμονα περὶ εἰρήνης αὐτοκράτορες, ὧν ἦν καὶ Ἀνδοκίδης ὁ πάππος ὁ ἡμέτερος. οὗτοι ἡμῖν εἰρήνην ἐποίησαν πρὸς Λακεδαιμονίους ἔτη τριάκοντα. καὶ ἐν τοσούτῳ χρόνῳ ἔστιν ὅπου, ὦ Ἀθηναῖοι, ὁ δῆμος κατελύθη; τί δέ; πράττοντές τινες δῆμου κατάλυσιν ἐλήφθησαν; οὐκ ἔστιν ὅστις ἀποδείξει, ἀλλ' αὐτὸ τὸ ἐναντιώτατον· αὕτη γὰρ ἡ εἰρήνη τὸν δῆμον τῶν 7
Ἀθηναίων ὑψηλὸν ἦρε καὶ κατέστησεν ἰσχυρὸν οὕτως, ὥστε πρῶτον μὲν ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες ἀνηνέγκαμεν χίλια τάλαντα εἰς τὴν ἀκρό-

5. *τότε* add. AB Bk. — *ἐλευθερώσαμεν* A[d] et pr. M. — *τοξότας* (quod. om. Aesch.) mal. abesse S. — *καὶ ταῦτα*] malim *ταῦτα* coll. § 7. — *τότε* post *ταῦτα* add. W. — *τῷ Ἀθην.* W.; item 7.

6. *αἰγινίτας* s. *αἰγηνίτας* ABMZ. — *κατεστήσαμεν* dedisse videtur pr. A[d]. — *μὲν* post *πολλὰ* addi malit R. — *ᾑρέθησαν* cum Steph. R.: *εὑρέθησαν*. — *καὶ* ante *Ἀνδ.* add. AB Bk. — *ὑμῖν* AB Turr. (cf. § 4). — *ἐποίησαν* auct. Bk. Turr.: *ἐποιήσαντο*.

7. *τὸν Ἀθην.* Bk. W. (*τὸν Ἀθηναῖον* MZ). — *εἰρήνην ἄγοντες* ci. R. —

πολιν, καὶ νόμῳ κατεκλείσαμεν ἐξαίρετα εἶναι τῷ
δήμῳ, τοῦτο δὲ τριήρεις ἄλλας ἑκατὸν ἐναυπηγη-
σάμεθα, καὶ ταύτας ἐξαιρέτους ἐψηφισάμεθα εἶναι,
νεωσοίκους τε ᾠκοδομησάμεθα, χιλίους τε καὶ δια-
κοσίους ἱππέας καὶ τοξότας τοσούτους ἑτέρους κατε-
στήσαμεν, καὶ τὸ τεῖχος τὸ μακρὸν τὸ νότιον ἐτει-
χίσθη. ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμο-
νίους ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῶν
8 Ἀθηναίων ἐγένετο. Πάλιν δὲ διὰ Μεγαρέας πολε-
μήσαντες καὶ τὴν χώραν τμηθῆναι προέμενοι, πολλῶν
ἀγαθῶν στερηθέντες αὖθις τὴν εἰρήνην ἐποιησάμεθα,
ἣν ἡμῖν Νικίας ὁ Νικηράτου κατειργάσατο. οἶμαι
δ' ὑμᾶς ἅπαντας εἰδέναι τοῦτο, ὅτι διὰ ταύτην τὴν
εἰρήνην ἑπτακισχίλια μὲν τάλαντα νομίσματος εἰς
9 τὴν ἀκρόπολιν ἀνηνέγκαμεν, ναῦς δὲ πλείους ἢ
τριακοσίας ἐκτησάμεθα, καὶ φόρος προσήει κατ'
ἐνιαυτὸν πλέον ἢ διακόσια καὶ χίλια τάλαντα, καὶ
Χερρόνησόν τε εἴχομεν καὶ Νάξον καὶ Εὐβοίας πλέον
ἢ τὰ δύο μέρη· τάς τε ἄλλας ἀποικίας καθ' ἕκαστον
διηγεῖσθαι μακρὸς ἂν εἴη λόγος. ταῦτα δ' ἔχοντες
τὰ ἀγαθὰ πάλιν κατέστημεν εἰς πόλεμον πρὸς Λακε-
δαιμονίους, πεισθέντες καὶ τότε ὑπ' Ἀργείων.

10 Πρῶτον μὲν οὖν ὦ Ἀθηναῖοι τούτου ἀναμνή-
σθητε, τί ὑμῖν ἐξ ἀρχῆς ὑπεθέμην τῷ λόγῳ. ἄλλο
τι ἢ τοῦτο, ὅτι διὰ τὴν εἰρήνην οὐδεπώποτε ὁ δῆμος
ὁ τῶν Ἀθηναίων κατελύθη; οὐκοῦν ἀποδέδεικται,
καὶ οὐδεὶς ἐξελέγξει με ὡς οὐκ ἔστι ταῦτα ἀληθῆ.

νεωσοίκους] cf. Harp. s. v. νεώρια (Ἀνδ. ἐν τῷ π. τ. εἰρ., εἰ γνήσιος ὁ λόγος). — post ἐτειχίσθη add. Aesch.: καὶ τὸν δῆμον οὐδεὶς ἐνεχείρησε καταλῦσαι.

9. τριακοσίας cum Markl. ex Aesch. Turr.: τετρακοσίας. cf. Thuc. 2, 13.

10. ἐξελέγξει cum Tayl. Sl. Turr.: ἐξελέγχει. —

ἤδη δέ τινων ἤκουσα λεγόντων ὡς ἐκ τῆς τελευταίας εἰρήνης τῆς πρὸς Λακεδαιμονίους οἵ τε τριάκοντα κατέστησαν πολλοί τε Ἀθηναίων κώνειον πιόντες ἀπέθανον, οἱ δὲ φεύγοντες ᾤχοντο. ὁπόσοι οὖν 11
ταῦτα λέγουσιν, οὐκ ὀρθῶς γιγνώσκουσιν· εἰρήνη γὰρ καὶ σπονδαὶ πολὺ διαφέρουσι σφῶν αὐτῶν. εἰρήνην μὲν γὰρ ἐξ ἴσου ποιοῦνται πρὸς ἀλλήλους ὁμολογήσαντες περὶ ὧν ἂν διαφέρωνται· σπονδὰς δέ, ὅταν κρατήσωσι κατὰ τὸν πόλεμον, οἱ κρείττους τοῖς ἥττοσιν ἐξ ἐπιταγμάτων ποιοῦνται, ὥσπερ ἡμῶν κρατήσαντες Λακεδαιμόνιοι τῷ πολέμῳ ἐπέταξαν ἡμῖν καὶ (τὰ) τείχη καθαιρεῖν καὶ τὰς ναῦς παραδιδόναι καὶ τοὺς φεύγοντας καταδέχεσθαι. τότε μὲν οὖν 12
σπονδαὶ κατ' ἀνάγκην ἐξ ἐπιταγμάτων ἐγένοντο· νῦν δὲ | περὶ εἰρήνης βουλεύεσθε. σκέψασθε δὲ ἐξ 25
αὐτῶν τῶν γραμμάτων, ἅ τε ἡμῖν ἐν τῇ στήλῃ γέγραπται, ἐφ' οἷς τε νῦν ἔξεστι τὴν εἰρήνην ποιεῖσθαι. ἐκεῖ μὲν γέγραπται τὰ τείχη καθαιρεῖν, ἐν δὲ τοῖσδε ἔξεστιν οἰκοδομεῖν· ναῦς ἐκεῖ μὲν δώδεκα κεκτῆσθαι, νῦν δ' ὁπόσας ἂν βουλώμεθα· Λῆμνον δὲ καὶ Ἴμβρον καὶ Σκῦρον τότε μὲν ἔχειν τοὺς (ἐξ ἀρχῆς) ἔχοντας, νῦν δὲ ἡμετέρας εἶναι· καὶ φεύγοντας νῦν μὲν οὐκ ἐπάναγκες οὐδένα καταδέχεσθαι, τότε δ' ἐπάναγκες, ἐξ ὧν ὁ δῆμος κατελύθη. τί ταῦτα ἐκείνοις ὁμολογεῖ; τοσοῦτον οὖν ἔγωγε ὦ Ἀθηναῖοι διορίζομαι περὶ τούτων, τὴν μὲν εἰρήνην σωτηρίαν εἶναι τῷ δήμῳ καὶ δύναμιν, τὸν δὲ πόλε-

κώνιον BZM.

11. εἰρήνην μὲν γὰρ κτέ.] cf. Aesch. § 176 et Isocr. 4, 176. — τὰ τείχη cum R. Bk.: τείχη. cf. 12. 31.

12. vv. ἐφ' οἷς — γέγραπται in mg. add. A. — σκίρρον ut videtur pr. A[d]; σκίρον A[d] M. item § 14. — ἐκεῖνος A[d] BZM. — δήμου cum Canter. Turr. Schi.: δήπου.

μον δήμου κατάλυσιν γίγνεσθαι. περὶ μὲν οὖν τούτων
ταῦτα λέγω.
13 Φασὶ δέ τινες ἀναγκαίως νῦν ἡμῖν ἔχειν πολε-
μεῖν· σκεψώμεθα οὖν πρῶτον, ἄνδρες Ἀθηναῖοι,
διὰ τί καὶ πολεμήσωμεν. οἶμαι γὰρ ἂν πάντας ἀν-
θρώπους ὁμολογῆσαι διὰ τάδε δεῖν πολεμεῖν, ἢ ἀδι-
κουμένους ἢ βοηθοῦντας ἠδικημένοις. ἡμεῖς τοίνυν
αὐτοί τε ἠδικούμεθα Βοιωτοῖς τε ἀδικουμένοις ἐβοη-
θοῦμεν. εἰ τοίνυν ἡμῖν τέ ἐστι τοῦτο παρὰ Λακε-
δαιμονίων, τὸ μηκέτι ἀδικεῖσθαι, Βοιωτοῖς τε δέ-
δοκται ποιεῖσθαι τὴν εἰρήνην ἀφεῖσιν Ὀρχομενὸν
14 αὐτόνομον, τίνος ἕνεκα πολεμήσωμεν; ἵνα ἡ πόλις
ἡμῶν ἐλευθέρα ᾖ; ἀλλὰ τοῦτό γε αὐτῇ ὑπάρχει.
ἀλλ' ὅπως ἡμῖν τείχη γένηται; ἔστι καὶ ταῦτα ἐκ
τῆς εἰρήνης. ἀλλ' ἵνα τριήρεις ἐξῇ ναυπηγεῖσθαι
καὶ τὰς οὔσας ἐπισκευάζειν καὶ κεκτῆσθαι; καὶ τοῦτο
ὑπάρχει· τὰς γὰρ πόλεις αὐτονόμους αἱ συνθῆκαι
ποιοῦσιν. ἀλλ' ὅπως τὰς νήσους κομισώμεθα,
Λῆμνον καὶ Σκῦρον καὶ Ἴμβρον; οὐκοῦν διαρρήδην
15 γέγραπται ταύτας Ἀθηναίων εἶναι. φέρε, ἀλλὰ
Χερρόνησον καὶ τὰς ἀποικίας καὶ τὰ ἐγκτήματα καὶ
τὰ χρέα ἵνα ἀπολάβωμεν; ἀλλ' οὔτε βασιλεὺς οὔτε
οἱ σύμμαχοι συγχωροῦσιν ἡμῖν, μεθ' ὧν αὐτὰ δεῖ
πολεμοῦντας κτήσασθαι. ἀλλὰ νὴ Δία ἕως ἂν Λακε-
δαιμονίους καταπολεμήσωμεν καὶ τοὺς συμμάχους
αὐτῶν, μέχρι τούτου δεῖ πολεμεῖν; ἀλλ' οὔ μοι
δοκεῖ οὕτω παρεσκευάσθαι. ἐὰν δὲ ἄρα κατεργασώ-

13. ὦ ἄνδρες ZM Bk. — ἂν πάντας A Bk.: ἅπαντας. — ἀφεῖσιν R.: ἀφήσειν.
14. ἡμῶν A[d] B: ἡμῖν.
15. ἐγκτήματα Valck. R.: ἐγκλήματα. — ἀπολαύωμεν A[d]. — malim οὕτω (τὰ πράγματα) παρεσκ. (δοκεῖ ἡ πόλις, vel δοκεῖτε, vel δοκοῦμεν ci. R.). — παρασκευάσθαι BL et pr. A.

μεθα, τί ποτε αὐτοὶ πείσεσθαι δοκοῦμεν ὑπὸ τῶν
βαρβάρων, ὅταν ταῦτα πράξωμεν; εἰ τοίνυν περὶ 16
τούτου μὲν ἔδει πολεμεῖν, χρήματα δὲ ὑπῆρχεν ἡμῖν
ἱκανά, τοῖς δὲ σώμασιν ἦμεν δυνατοί, οὐδὲ οὕτως
ἔδει πολεμεῖν. εἰ δὲ μήτε δι' ὅ τι μήτε ὅτοισι μήτε
ἀφ' ὅτου πολεμήσωμεν ἔστι, πῶς οὐκ ἐκ παντὸς
τρόπου τὴν εἰρήνην ποιητέον ἡμῖν;

Σκέψασθε δὲ ὦ Ἀθηναῖοι καὶ τόδε, ὅτι νυνὶ 17
πᾶσι τοῖς Ἕλλησι κοινὴν εἰρήνην καὶ ἐλευθερίαν
πράττετε, καὶ μετέχειν ἅπασι πάντων ἐξουσίαν
ποιεῖτε. ἐνθυμήθητε οὖν τῶν πόλεων τὰς μεγίστας
τίνι τρόπῳ τὸν πόλεμον καταλύονται. πρῶτον μὲν
Λακεδαιμονίους, οἵτινες ἀρχόμενοι μὲν ἡμῖν καὶ τοῖς
συμμάχοις πολεμεῖν ἦρχον καὶ κατὰ γῆν καὶ κατὰ
θάλατταν, νῦν δ' αὐτοῖς ἐκ τῆς εἰρήνης οὐδέτερον
τούτων ὑπάρχει. καὶ οὐχ ὑφ' ἡμῶν ἀναγκαζόμενοι 18
ταῦτ' ἀφιᾶσιν, ἀλλ' ἐπ' ἐλευθερίᾳ πάσης τῆς Ἑλλά-
δος. νενικήκασι γὰρ τρὶς ἤδη μαχόμενοι, τοτὲ μὲν
ἐν Κορίνθῳ πάντας πανδημεὶ τοὺς συμμάχους παρόν-
τας, οὐχ ὑπολιπόντες πρόφασιν οὐδεμίαν, ἀλλ' ἐν
τῷ κρατιστεύειν μόνοι πάντων, αὖθις δ' ἐν Βοιωτοῖς,
ὅτ' αὐτῶν Ἀγησίλαος ἡγεῖτο, τὸν αὐτὸν τρόπον καὶ
τότε τὴν νίκην ἐποιήσαντο, τρίτον δ' ἡνίκα Λέχαιον
ἔλαβον, Ἀργείους μὲν ἅπαντας καὶ Κορινθίους,
ἡμῶν δὲ καὶ Βοιωτῶν τοὺς παρόντας. τοιαῦτα δ' 19
ἔργα ἐπιδειξάμενοι τὴν εἰρήνην εἰσὶν ἕτοιμοι ποιεῖσθαι
τὴν ἑαυτῶν ἔχοντες, οἳ ἐνίκων μαχόμενοι, καὶ τὰς
πόλεις αὐτονόμους εἶναι καὶ τὴν θάλατταν κοινὴν
ἐῶντες τοῖς ἡττημένοις. καίτοι ποίας τινὸς ἂν ἐκεῖ-

18. ὑμῶν AB. — τοτὲ μὲν scripsi: τότε μὲν. cf. Voemel. ad Dem. Phil. 3, 58. — δ' ἐν Βοιωτοῖς S. Turr.: δὲ βοιωτοῖς ABMZ, δὲ Βοιωτούς v. — καὶ τότε Sl. Turr.: καὶ ὅτε.

νοι παρ' ἡμῶν εἰρήνης ἔτυχον, εἰ μίαν μόνον μάχην
20 ἡττήθησαν; Βοιωτοὶ δ' αὖ πῶς τὴν εἰρήνην ποιοῦνται;
οἵτινες τὸν μὲν πόλεμον ἐποιήσαντο ἕνεκα Ὀρχομε-
νοῦ, ὡς οὐκ ἐπιτρέψοντες αὐτόνομον εἶναι, νῦν δὲ
26 | τεθνεώτων μὲν αὐτοῖς ἀνδρῶν τοσούτων τὸ πλῆθος,
τῆς δὲ γῆς ἐκ μέρους τινὸς τετμημένης, χρήματα δ'
εἰσενηνοχότες πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ὧν στέ-
ρονται, πολεμήσαντες δὲ ἔτη τέτταρα, ὅμως Ὀρχο-
μενὸν ἀφέντες αὐτόνομον τὴν εἰρήνην ποιοῦνται
καὶ ταῦτα μάτην πεπόνθασιν· ἐξῆν γὰρ αὐτοῖς καὶ
τὴν ἀρχὴν ἐῶσιν Ὀρχομενίους αὐτονόμους εἰρήνην
ἄγειν. οὗτοι δ' αὖ τούτῳ τῷ τρόπῳ τὸν πόλεμον
21 καταλύονται. ἡμῖν δὲ ὦ Ἀθηναῖοι πῶς ἔξεστι τὴν
εἰρήνην ποιήσασθαι; ποίων τινῶν Λακεδαιμονίων
τυγχάνοντας; καὶ γὰρ εἴ τις ὑμῶν ἀχθεσθήσεται
παραιτοῦμαι· τὰ γὰρ ὄντα λέξω. πρῶτον μὲν γὰρ
ἡνίκα ἀπωλέσαμεν τὰς ναῦς ἐν Ἑλλησπόντῳ καὶ
τειχήρεις ἐγενόμεθα, τίνα γνώμην ἔθεντο περὶ ἡμῶν
οἱ νῦν μὲν ἡμέτεροι τότε δὲ Λακεδαιμονίων ὄντες
σύμμαχοι; οὐ τὴν πόλιν ἡμῶν ἀνδραποδίζεσθαι καὶ
τὴν χώραν ἐρημοῦν; οἱ δὲ διακωλύσαντες ταῦτα μὴ
γενέσθαι τίνες ἦσαν; οὐ Λακεδαιμόνιοι, τοὺς μὲν
συμμάχους ἀποτρέψαντες τῆς γνώμης, αὐτοὶ δ' οὐδ'
ἐπιχειρήσαντες διαβουλεύσασθαι περὶ τοιούτων
22 ἔργων; μετὰ δὲ τοῦτο ὅρκους ὀμόσαντες αὐτοῖς καὶ
τὴν στήλην εὑρόμενοι παρ' αὐτῶν στῆσαι, κακὸν
ἀγαπητὸν ἐν ἐκείνῳ τῷ χρόνῳ, σπονδὰς ἤγομεν ἐπὶ

19. *μόνον* AB Bk.: *μόνην*.
20. *τῷ* post *τούτῳ* om. AB.
21. *τὰ γὰρ*] *γὰρ* ABZM. — *ἡμῶν* Bait.: *ὑμῶν*. — *ἀνδραποδίζεσθαι*] *καὶ δῃοῦν* add. ZM.
22. *δὲ* post *μετὰ* add. AB Bk. — *παρ' αὐτῶν*] *αὐτῶν* ABZM. —

ῥητοῖς. εἶτα δὲ συμμαχίαν ποιησάμενοι, Βοιωτοὺς καὶ
Κορινθίους ἀποστήσαντες αὐτῶν, Ἀργείους δὲ ἀγα-
γόντες εἰς τὴν πρότερον φιλίαν, αἴτιοι τῆς ἐν Κορίνθῳ
μάχης ἐγενόμεθα αὐτοῖς. τίνες δὲ βασιλέα πολέμιον
αὐτοῖς ἐποίησαν, καὶ Κόνωνι τὴν ναυμαχίαν παρε-
σκεύασαν, δι' ἣν ἀπώλεσαν τὴν ἀρχὴν τῆς θαλάττης;
ὅμως τοίνυν ταῦτα πεπονθότες ὑφ' ἡμῶν συγχω- 23
ροῦσι ταὐτὰ ἅπερ οἱ σύμμαχοι, καὶ διδόασιν ἡμῖν
τὰ τείχη καὶ τὰς ναῦς καὶ τὰς νήσους ἡμῶν εἶναι.
ποίαν τιν' οὖν χρὴ εἰρήνην πρεσβεύοντας ἥκειν; οὐ
ταὐτὰ παρὰ τῶν πολεμίων εὑρομένους ἅπερ οἱ φίλοι
διδόασι, καὶ δι' ἅπερ ἠρξάμεθα πολεμεῖν, ἵνα ἡμῶν
γένηται τῇ πόλει, ταῦτα; οἱ μὲν τοίνυν ἄλλοι τὴν
εἰρήνην ποιοῦνται τῶν ὑπαρχόντων ἀφιέντες, ἡμεῖς
δὲ προσλαμβάνοντες αὐτὰ ὧν μάλιστα δεόμεθα.

Τί οὖν ἐστιν ὑπόλοιπον περὶ ὅτου δεῖ βουλεύε- 24
σθαι; ναί, περὶ ὧν αὖ ἡμᾶς Ἀργεῖοι προκαλοῦνται.
πρῶτον μὲν περὶ Κορίνθου διδαξάτω μέ τις· Βοιω-
τῶν μὴ συμπολεμούντων, εἰρήνην δὲ ποιουμένων
πρὸς Λακεδαιμονίους, τίνος ἐστὶν ἡμῖν ἀξία Κόριν-
θος; ἀναμνήσθητε γὰρ ὦ Ἀθηναῖοι τῆς ἡμέρας ἐκεί- 25
νης ὅτε Βοιωτοῖς τὴν συμμαχίαν ἐποιούμεθα, τίνα
γνώμην ἔχοντες ταῦτα ἐπράττομεν. οὐχ ὡς ἱκανὴν
οὖσαν τὴν Βοιωτῶν δύναμιν μεθ' ἡμῶν γενομένην
κοινῇ πάντας ἀνθρώπους ἀμύνασθαι; νῦν δὲ βου-
λευώμεθα, Βοιωτῶν εἰρήνην ποιουμένων πῶς δυ-

πρότερον Osann: ποτὲ. — ναυαρχίαν Emp.

23. ταὐτὰ utrobique cum Osann. Bait.: ταῦτα. — πόλει, ταῦτα mal. S.: πόλει ταῦτα. — αὐτὰ] αὐτῶν dedisse videtur pr. A[d].

24. ναί, περὶ ὧν scripsi coll. § 26: καὶ περὶ ὧν. — αὖ cum G. Herm. Turr. Schi.: ἂν. — προκαλοῦνται ZM ci. R. Dobr.: προσκαλοῦνται.

25. βουλευώμεθα AB Turr.: βουλευόμεθα.

νατοὶ Λακεδαιμονίοις πολεμεῖν ἐσμεν ἄνευ Βοιωτῶν.
26 ναί, φασί τινες, ἂν Κόρινθόν τε φυλάττωμεν καὶ
συμμάχους ἔχωμεν Ἀργείους. ἰόντων δὲ Λακεδαι-
μονίων εἰς Ἄργος πότερον βοηθήσομεν αὐτοῖς ἢ οὔ;
πολλὴ γὰρ ἀνάγκη ὁπότερον τούτων ἑλέσθαι. μὴ
βοηθούντων μὲν οὖν ἡμῶν οὐδὲ λόγος ὑπολείπεται
μὴ οὐκ ἀδικεῖν καὶ ποιεῖν (ἂν) Ἀργείους ὁποῖον ἄν τι
βούλωνται δικαίως· βοηθούντων δὲ ἡμῶν εἰς Ἄργος
οὐχ ἕτοιμον μάχεσθαι Λακεδαιμονίοις; ἵνα ἡμῖν τί
γένηται; ἵνα ἡττώμενοι μὲν καὶ τὴν οἰκείαν χώραν
ἀπολέσωμεν πρὸς τῇ Κορινθίων, νικήσαντες δὲ τὴν
Κορινθίων Ἀργείων ποιήσωμεν. οὐχ ἕνεκα τούτων
27 πολεμήσομεν; Σκεψώμεθα δὴ καὶ τοὺς Ἀργείων λό-
γους. κελεύουσι γὰρ ἡμᾶς κοινῇ μετὰ σφῶν καὶ
μετὰ Κορινθίων πολεμεῖν, αὐτοὶ δ' ἰδίᾳ εἰρήνην
ποιησάμενοι τὴν χώραν οὐ παρέχουσιν ἐμπολεμεῖν.
καὶ μετὰ μὲν πάντων τῶν συμμάχων τὴν εἰρήνην
ποιουμένους οὐκ ἐῶσιν ἡμᾶς οὐδὲν πιστεύειν Λακε-
δαιμονίοις· ἃ δὲ πρὸς τούτους μόνους ἐκεῖνοι συνέ-
θεντο, ταῦτ' οὐδεπώποτ' αὐτούς φασι παραβῆναι.
πατρίαν δὲ εἰρήνην ὀνομάζοντες ᾗ χρῶνται, τοῖς δὲ
27 ἄλλοις Ἕλλησιν οὐκ ἐῶσι πατρίαν | γενέσθαι τὴν
εἰρήνην· ἐκ γὰρ τοῦ πολέμου χρονισθέντος Κόρινθον
ἑλεῖν προσδοκῶσι, κρατήσαντες δὲ τούτων ὑφ' ὧν
ἀεὶ κρατοῦνται, καὶ τοὺς συννικῶντας ἐλπίζουσι
παραστήσεσθαι.

26. ναί AB Bk.: καί. — ἰόντων] ὄντων ABZM. — ἡμῶν Bait.: ὑμῶν. — καὶ ποιεῖν (ἂν) Ἀργ. scripsi (similiter iam Sl. Dobr. Bait.): Ἀργείους καὶ ποιεῖν. — Λακεδαιμονίοις AB Bk.: πρὸς Λακεδαιμονίους. — ἀπολέσομεν et ποιήσομεν A. — πολεμήσωμεν ABZM.

27. ποιουμένους R.: ποιουμένοις (Bk. Turr.). — φησὶ ABZM. — ἐλπίζουσι παραστήσεσθαι cum R. Bk.: ἐλπίζουσιν ἀποστήσεσθαι.

Τοιούτων δ' ἐλπίδων μετασχόντας ἡμᾶς δεῖ δυοῖν 28
θάτερον ἑλέσθαι, ἢ πολεμεῖν μετὰ Ἀργείων Λακε-
δαιμονίοις, ἢ μετὰ Βοιωτῶν κοινῇ τὴν εἰρήνην
ποιεῖσθαι. ἐγὼ μὲν οὖν ἐκεῖνο δέδοικα μάλιστα, ὦ
Ἀθηναῖοι, τὸ εἰθισμένον κακόν, ὅτι τοὺς κρείττους
φίλους ἀφιέντες ἀεὶ τοὺς ἥττους αἱρούμεθα, καὶ
πόλεμον ποιούμεθα δι' ἑτέρους, ἐξὸν δι' ἡμᾶς αὐτοὺς
εἰρήνην ἄγειν· οἵτινες πρῶτον μὲν βασιλεῖ τῷ με- 29
γάλῳ — χρὴ γὰρ ἀναμνησθέντας τὰ γεγενημένα καλῶς
βουλεύσασθαι — σπονδὰς ποιησάμενοι καὶ συνθέμενοι
φιλίαν εἰς τὸν ἅπαντα χρόνον, ἃ ἡμῖν ἐπρέσβευσεν
Ἐπίλυκος Τισάνδρου, τῆς μητρὸς τῆς ἡμετέρας
ἀδελφός, ταῦτα Ἀμόργῃ πειθόμενοι τῷ δούλῳ τοῦ
βασιλέως καὶ φυγάδι τὴν μὲν βασιλέως δύναμιν
ἀπεβαλόμεθα ὡς οὐδενὸς οὖσαν ἀξίαν, τὴν δὲ
Ἀμόργου φιλίαν εἱλόμεθα, κρείττω νομίσαντες εἶναι·
ἀνθ' ὧν βασιλεὺς ὀργισθεὶς ἡμῖν, σύμμαχος γενό-
μενος Λακεδαιμονίοις, παρέσχεν αὐτοῖς εἰς τὸν
πόλεμον πεντακισχίλια τάλαντα, ἕως κατέλυσεν
ἡμῶν τὴν δύναμιν. ἓν μὲν βούλευμα τοιοῦτον
ἐβουλευσάμεθα· Συρακούσιοι δ' ὅτε ἦλθον ἡμῶν 30
δεόμενοι, φιλότητα μὲν ἀντὶ διαφορᾶς ἐθέλοντες
εἰρήνην δ' ἀντὶ πολέμου ποιεῖσθαι, τήν τε συμμα-
χίαν ἀποδεικνύντες ὅσῳ κρείττων ἡ σφετέρα εἴη
τῶν Ἐγεσταίων καὶ τῶν Καταναίων, εἰ βουλοίμεθα
πρὸς αὐτοὺς ποιεῖσθαι, ἡμεῖς τοίνυν εἱλόμεθα καὶ

29. num (περὶ τῶν παρόντων) καλῶς βουλεύσασθαι? — ὁ Τισάνδρου mal. Bait., sicut est 1, 117. — (μετὰ) ταῦτα ci. R., εἶτα Sl. — τοῦ βασιλέως] τῷ βασ. postul. Bk. cf. 1, 107. — οὐδενὸς cum R. Bk.: οὐδὲν. — οἷς κατέλυσαν Sl. (κατέλυσαν mal. etiam R.).

30. Συρρακ. ubique ded. videtur pr. A[d]. — (τῆς) τῶν mal. R. — εἰ βουλοίμεθα Bk. cum R. (et ABZ teste Bk.): εἰ βουλόμεθα A[d] M; ἢν βουλώμ. v. —

*τότε πόλεμον μὲν ἀντὶ εἰρήνης, Ἐγεσταίους δὲ ἀντὶ
Συρακουσίων, στρατεύεσθαι δ' εἰς Σικελίαν ἀντὶ
τοῦ μένοντες οἴκοι συμμάχους ἔχειν Συρακουσίους·
ἐξ ὧν πολλοὺς μὲν Ἀθηναίων ἀπολέσαντες ἀριστίν-
δην καὶ τῶν συμμάχων, πολλὰς δὲ ναῦς καὶ χρή-
ματα καὶ δύναμιν ἀποβαλόντες, αἰσχρῶς διεκομίσθη-*
31 *σαν οἱ σωθέντες αὐτῶν. ὕστερον δ' ὑπ' Ἀργείων
ἐπείσθημεν, οἵπερ νῦν ἥκουσι πείθοντες πολεμεῖν,
πλεύσαντες ἐπὶ τὴν Λακωνικὴν εἰρήνης ἡμῖν οὔσης
πρὸς Λακεδαιμονίους ἐκκαλεῖν αὐτῶν τὸν θυμόν,
ἀρχὴν πολλῶν κακῶν· ἐξ οὗ πολεμήσαντες ἠναγ-
κάσθημεν τὰ τείχη κατασκάπτειν καὶ τὰς ναῦς παρα-
διδόναι καὶ τοὺς φεύγοντας καταδέχεσθαι. ταῦτα
δὲ πασχόντων ἡμῶν οἱ πείσαντες ἡμᾶς πολεμεῖν
Ἀργεῖοι τίνα ὠφέλειαν παρέσχον ἡμῖν; τίνα δὲ κίν-*
32 *δυνον ὑπὲρ τῶν Ἀθηναίων ἐποιήσαντο; νῦν οὖν
τοῦτο ὑπόλοιπόν ἐστιν ἡμῖν, πόλεμον μὲν ἑλέσθαι
καὶ νῦν ἀντ' εἰρήνης, τὴν δὲ συμμαχίαν Ἀργείων
ἀντὶ τῆς Βοιωτῶν, Κορινθίων δὲ τοὺς νῦν ἔχοντας
τὴν πόλιν ἀντὶ Λακεδαιμονίων. μὴ δῆτα, ὦ Ἀθη-
ναῖοι, μηδεὶς ἡμᾶς ταῦτα πείσῃ· τὰ γὰρ παραδείγ-
ματα τὰ γεγενημένα τῶν ἁμαρτημάτων ἱκανὰ τοῖς
σώφροσι τῶν ἀνθρώπων ὥστε μηκέτι ἁμαρτάνειν.*
33 *Εἰσὶ δέ τινες ὑμῶν οἳ τοσαύτην ὑπερβολὴν τῆς
ἐπιθυμίας ἔχουσιν εἰρήνην ὡς τάχιστα γενέσθαι·
φασὶ γὰρ καὶ τὰς τετταράκονθ' ἡμέρας ἐν αἷς ἡμῖν
ἔξεστι βουλεύεσθαι περίεργον εἶναι, καὶ τοῦτο ἀδι-
κεῖν ἡμᾶς· αὐτοκράτορας γὰρ πεμφθῆναι εἰς Λακε-*

μένοντες scripsi: *μένοντας*.
31. *ἐκκαλεῖν αὐτῶν* scripsi: *ἐκτεῖναι* (*ἐκείνων κινεῖν* ci. R., *κινεῖν αὐτῶν* Sl.). — *ἡμᾶς*] *ὑμᾶς* corr. A.
32. num (*τὴν*) *Ἀργείων*? — *πείσει* A.
33. *τετταράκονθ'* scripsi: *τεσσαράκονθ'*. — *ὑμῖν* Bk. Dobr.

δαίμονα διὰ ταῦθ', ἵνα μὴ πάλιν ἐπαναφέρωμεν.
τήν τε ἀσφάλειαν ἡμῶν τῆς ἐπαναφορᾶς δέος ὀνο-
μάζουσι, λέγοντες ὡς οὐδεὶς πώποτε τὸν δῆμον τῶν
Ἀθηναίων ἐκ τοῦ φανεροῦ πείσας ἔσωσεν, ἀλλὰ δεῖ
λαθόντας ἢ ἐξαπατήσαντας αὐτὸν εὖ ποιῆσαι. τὸν
λόγον οὖν τοῦτον οὐκ ἐπαινῶ. φημὶ γάρ, ὦ Ἀθη- 34
ναῖοι, πολέμου μὲν ὄντος ἄνδρα στρατηγὸν τῇ πόλει
τε εὔνουν εἰδότα τε ὅ τι πράττοι, λανθάνοντα δεῖν
τοὺς πολλοὺς τῶν ἀνθρώπων καὶ ἐξαπατῶντα ἄγειν
ἐπὶ τοὺς κινδύνους, εἰρήνης δὲ πέρι πρεσβεύοντας
κοινῆς τοῖς Ἕλλησιν, ἐφ' οἷς ὅρκοι τε ὀμοσθήσονται
στῆλαί τε σταθήσονται γεγραμμέναι, ταῦτα δὲ οὔτε
λαθεῖν οὔτε ἐξαπατῆσαι δεῖν, ἀλλὰ πολὺ μᾶλλον
ἐπαινεῖν ἢ ψέγειν, εἰ πεμφθέντες αὐτοκράτορες ἔτι
ἀπεδώκαμεν ὑμῖν | περὶ αὐτῶν σκέψασθαι. βου- 28
λεύσασθαι μὲν οὖν ἀσφαλῶς χρὴ κατὰ δύναμιν, οἷς
δ' ἂν ὀμόσωμεν καὶ συνθώμεθα, τούτοις ἐμμένειν.
οὐ γὰρ μόνον, ὦ Ἀθηναῖοι, πρὸς γράμματα τὰ 35
γεγραμμένα δεῖ βλέποντας πρεσβεύειν ἡμᾶς, ἀλλὰ
καὶ πρὸς τοὺς τρόπους τοὺς ὑμετέρους. ὑμεῖς γὰρ
περὶ μὲν τῶν ἑτοίμων ὑμῖν ὑπονοεῖν εἰώθατε καὶ
δυσχεραίνειν, τὰ δ' οὐκ ὄντα λογοποιεῖν ὡς ἔστιν
ὑμῖν ἕτοιμα· κἂν μὲν πολεμεῖν δέῃ, τῆς εἰρήνης
ἐπιθυμεῖτε, ἐὰν δέ τις ὑμῖν τὴν εἰρήνην πράττῃ,
λογίζεσθε τὸν πόλεμον ὅσα ἀγαθὰ ὑμῖν κατειργά-
σατο. ὅπου καὶ νῦν ἤδη τινὲς λέγουσιν οὐ γιγνώ- 36
σκειν τὰς διαλλαγὰς αἵτινές εἰσιν, τείχη καὶ νῆες εἰ

διὰ ταῦθ' cum R. Turr.: διὰ ταύτην. — τὸν Ἀθ. W. — ἀλλὰ δεῖν Valck. — λαθ. καὶ ἐξαπατ. Hi. coll. 34.

34. δεῖ pr. A. — ἔτι ci. R.: τι. — ἀπεδώκαμεν scripsi: ἀποδώσομεν. — ἡμῖν A[d].

35. ἡμῖν τὴν εἰρήνην A. — λογίζεσθαι A[d]. — ἡμῖν κατειργ. A[d] M.

γενήσονται τῇ πόλει· τὰ γὰρ ἴδια τὰ σφέτερ' αὐτῶν ἐκ τῆς ὑπερορίας οὐκ ἀπολαμβάνειν, ἀπὸ δὲ τῶν τειχῶν οὐκ εἶναι σφίσι τροφήν. ἀναγκαίως οὖν ἔχει καὶ πρὸς ταῦτ' ἀντειπεῖν.

37 Ἦν γάρ ποτε χρόνος, ὦ Ἀθηναῖοι, ὅτε τείχη καὶ ναῦς οὐκ ἐκτήμεθα· γενομένων δὲ τούτων τὴν ἀρχὴν ἐποιησάμεθα τῶν ἀγαθῶν. ὧν εἰ καὶ νῦν ἐπιθυμεῖτε, ταῦτα κατεργάσασθε. ταύτην δὲ λαβόντες ἀφορμὴν οἱ πατέρες ἡμῶν κατειργάσαντο τῇ πόλει δύναμιν τοσαύτην ὅσην οὔπω τις ἄλλη πόλις ἐκτήσατο, τὰ μὲν πείσαντες τοὺς Ἕλληνας, τὰ δὲ λαθόντες, τὰ δὲ
38 πριάμενοι, τὰ δὲ βιασάμενοι· πείσαντες μὲν οὖν Ἀθήνησι ποιήσασθαι τῶν κοινῶν χρημάτων Ἑλληνοταμίας, καὶ τὸν σύλλογον τῶν νεῶν παρ' ἡμῖν γενέσθαι, ὅσαι δὲ τῶν πόλεων τριήρεις μὴ κέκτηνται, ταύταις ἡμᾶς παρέχειν· λαθόντες δὲ Πελοποννησίους τειχισάμενοι τὰ τείχη· πριάμενοι δὲ παρὰ Λακεδαιμονίων μὴ δοῦναι τούτων δίκην· βιασάμενοι δὲ τοὺς ἐναντίους τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργασάμεθα. καὶ ταῦτα τὰ ἀγαθὰ ἐν ὀγδοήκοντα καὶ πέντε ἡμῖν
39 ἔτεσιν ἐγένετο. κρατηθέντες δὲ τῷ πολέμῳ τά τε ἄλλα ἀπωλέσαμεν, καὶ τὰ τείχη καὶ τὰς ναῦς ἔλαβον ἡμῶν ἐνέχυρα Λακεδαιμόνιοι, τὰς μὲν παραλαβόντες, τὰ δὲ καθελόντες, ὅπως μὴ πάλιν ταῦτ' ἔχοντες ἀφορμὴν δύναμιν τῇ πόλει κατασκευάσαιμεν. πεισθέντες τοίνυν ὑφ' ἡμῶν Λακεδαιμόνιοι πάρεισι νυνὶ πρέ-

37. οὐκ ἐκτήμεθα Bk.: οὐκεκτήμεθα AB (οὐκ ἐκεκτήμεθα Hi.), οὐκ ἐκτώμεθα v. — γενομένων δέ, ταύτην ἀρχὴν Hi.
38. Ἑλληνοτ.] cf. Harp. (Ἀ. ἐν τῷ π. τ. εἰρήνης, εἰ γνήσιος). — τειχισάμενοι Emp.: ἐτειχίσαμεν. — malim ἐναντιουμένους.
39. τὰς μὲν R.: τὰ μὲν. — malim cum Hi. ταύτην ἔχοντες ἀφ. sicut est § 37. —

*σβεις αὐτοκράτορες, τά τε ἐνέχυρα ἡμῖν ἀποδιδόντες,
καὶ τὰ τείχη καὶ ναῦς ἐῶντες κεκτῆσθαι, τάς τε νή-
σους ἡμετέρας εἶναι. τὴν αὐτὴν τοίνυν ἀρχὴν ἀγα-* 40
*θῶν λαμβάνοντας ἥνπερ ἡμῶν ἐλάμβανον οἱ πρό-
γονοι, ταύτην οὐκ ἀκτέον φασὶ τὴν εἰρήνην τινὲς
εἶναι. παριόντες οὖν αὐτοὶ διδασκόντων ὑμᾶς — ἐξου-
σίαν δ' αὐτοῖς ἡμεῖς ἐποιήσαμεν, προσθέντες τεττα-
ράκοντα ἡμέρας βουλεύσασθαι — τοῦτο μὲν τῶν γε-
γραμμένων εἴ τι τυγχάνει μὴ καλῶς ἔχον· ἔξεστι γὰρ
ἀφελεῖν· τοῦτο δ' εἴ τίς (τι) προσθεῖναι βούλεται,
πείσας ὑμᾶς προσγραψάτω. πᾶσί τε τοῖς γεγραμμέ-
νοις χρωμένοις ἔστιν εἰρήνην ἄγειν. εἰ δὲ μηδὲν
ἀρέσκει τούτων, πολεμεῖν ἕτοιμον. καὶ ταῦτ' ἐφ'* 41
*ὑμῖν πάντ' ἐστίν, ὦ Ἀθηναῖοι, τούτων ὅ τι ἂν
βούλησθε ἑλέσθαι. πάρεισι μὲν γὰρ Ἀργεῖοι καὶ
Κορίνθιοι διδάξοντες ὡς ἄμεινόν ἐστι πολεμεῖν,
ἥκουσι δὲ Λακεδαιμόνιοι πείσοντες ὑμᾶς εἰρήνην
ποιήσασθαι. τούτων δ' ἐστὶ τὸ τέλος παρ' ὑμῖν,
ἀλλ' οὐκ ἐν Λακεδαιμονίοις, δι' ἡμᾶς. πρεσβευτὰς
οὖν πάντας ὑμᾶς ἡμεῖς οἱ πρέσβεις ποιοῦμεν· ὁ
γὰρ τὴν χεῖρα μέλλων ὑμῶν αἴρειν, οὗτος ὁ πρε-
σβεύων ἐστίν, ὁπότερ' ἂν αὐτῷ δοκῇ, καὶ τὴν εἰρή-
νην καὶ τὸν πόλεμον ποιεῖν. μέμνησθε μὲν οὖν ὦ
Ἀθηναῖοι τοὺς ἡμετέρους λόγους, ψηφίσασθε δὲ
τοιαῦτα ἐξ ὧν ὑμῖν μηδέποτε μεταμελήσει.* | 29

τάς τε ZM: *τὰς δέ*.
40. *διδασκ. ὑμᾶς* Sl. Bait.: *διδ. ἡμᾶς*. — *προθέντες* mal. R. — *εἴ τι*] *ἔτι* ABZM. — *εἴ (τί) τις* mal. Turr.; *εἴ τις πρ. (τι)* Sl.
41. *ἐφ' ἡμῖν* A[d] M Ald. (Bk. nihil adnotavit). — *ἑλέσθαι* ABZM Turr.: *ἕλεσθε*. — *ποιήσασθαι* Steph.: *ποιήσεσθαι*. — *δι' ἡμᾶς* cum R. Bk.: *δι' ὑμᾶς*. — *ὁ πρεσβ. ἔσται* Dobr. — *δοκεῖ* A et pr. M. — *τοιαῦτα* AB Bk.: *ταῦτα*.

4.

[ΑΝΔΟΚΙΔΟΥ] ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἀνδοκίδης Ἀλκιβιάδου κατηγορεῖ τοῦ Κλεινίου ὡς καὶ τὰ τῆς πόλεως καὶ τὰ τῶν συμμάχων διαφθείραντος καὶ κατὰ τὸν ἴδιον βίον πλεῖστα ἡμαρτηκότος· τοῦ δὲ δήμου βουλευομένου καὶ αὐτὸν ἐξοστρακίσαι τὸν Ἀνδοκίδην πρῶτον παραγράφεται, λέγων ἤδη ἀπολελογῆσθαι καὶ ἀνεύθυνος εἶναι. εἰρήκαμεν γὰρ πολλάκις ὅτι δεῖ τὸν τοῖς αὐτοῖς ἐγκλήμασι δοκοῦντα ἐνέχεσθαι πρῶτον ἑαυτὸν ἐλευθεροῦν, εἶτα διαβάλλειν. τὴν δὲ στάσιν οἱ μέν φασιν ὁρικὴν εἶναι, οἱ δὲ πραγματικήν. ἠκριβωμένη δὲ ἡ στάσις κατὰ μὲν τὴν ἀρχὴν μετάληψίς ἐστι (παραγράφεται γάρ), ἐν δὲ τοῖς ὑστέροις πραγματική· δίκαιον γάρ φησι καὶ συμφέρον ἐξοστρακισθῆναι Ἀλκιβιάδην.

Οὐκ ἐν τῷ παρόντι μόνον γιγνώσκω τῶν πολιτικῶν πραγμάτων ὡς σφαλερόν ἐστιν ἅπτεσθαι, ἀλλὰ καὶ πρότερον χαλεπὸν ἡγούμην, πρὶν τῶν κοινῶν ἐπιμελεῖσθαί τινος. πολίτου δὲ ἀγαθοῦ νομίζω προκινδυνεύειν ἐθέλειν τοῦ πλήθους, καὶ μὴ καταδείσαντα τὰς ἔχθρας τὰς ἰδίας ὑπὲρ τῶν δημοσίων ἔχειν ἡσυχίαν· διὰ μὲν γὰρ τοὺς τῶν ἰδίων ἐπιμελουμένους οὐδὲν αἱ πόλεις μείζους καθίστανται, διὰ δὲ τοὺς τῶν κοινῶν μεγάλαι καὶ ἐλεύθεραι γίγνον-
2 ται. ὧν εἷς ἐγὼ βουληθεὶς ἐξετάζεσθαι μεγίστοις περιπέπτωκα κινδύνοις, προθύμων μὲν καὶ ἀγαθῶν ἀνδρῶν ὑμῶν τυγχάνων, δι' ὅπερ σώζομαι, πλείστοις δὲ καὶ δεινοτάτοις ἐχθροῖς χρώμενος, ὑφ' ὧν διαβάλλομαι. ὁ μὲν οὖν ἀγὼν ὁ παρὼν οὐ στεφανη-

Or. IV. [*ΑΝΔΟΚΙΔΟΥ*] Turr.: *ΑΝΔΟΚΙΔΟΥ*. — ' **Ὑπόθ.**] **εἰρήκαμεν** cum R. Bk.: **εἴρηκε μὲν** (**εἴρηται μὲν** Z et corr. M.).
2. **ὧν** cum Valck. et R. Bk.: **ὧν τῶν ἀγαθῶν**, quod serv. Schi. — **δι' ὥνπερ** cum Markl. mal. Bait.

φόρος, ἀλλ' εἰ χρὴ μηδὲν ἀδικήσαντα τὴν πόλιν
δέκα ἔτη φεύγειν· οἱ δ' ἀνταγωνιζόμενοι περὶ τῶν
ἄθλων τούτων ἐσμὲν ἐγὼ καὶ Ἀλκιβιάδης καὶ Νικίας,
ὧν ἀναγκαῖον ἕνα τῇ συμφορᾷ περιπεσεῖν.

Ἄξιον δὲ μέμψασθαι τὸν θέντα τὸν νόμον, ὃς 3
ἐναντία τῷ ὅρκῳ τοῦ δήμου καὶ τῆς βουλῆς ἐνομο-
θέτησεν· ἐκεῖ μὲν γὰρ ὄμνυτε μηδένα μήτε ἐξελᾶν
μήτε δήσειν μήτε ἀποκτενεῖν ἄκριτον, ἐν δὲ τῷδε
τῷ καιρῷ οὔτε κατηγορίας γενομένης οὔτε ἀπολο-
γίας ἀποδοθείσης διαψηφισαμένων κρύβδην τὸν
ὀστρακισθέντα τοσοῦτον χρόνον δεῖ στερηθῆναι τῆς
πόλεως. εἶτα ἐν τοῖς τοιούτοις οἱ τοὺς ἑταίρους καὶ 4
συνωμότας κεκτημένοι πλέον φέρονται τῶν ἄλλων·
οὐ γὰρ ὥσπερ ἐν τοῖς δικαστηρίοις οἱ λαχόντες κρί-
νουσιν, ἀλλὰ τούτου τοῦ πράγματος ἅπασιν Ἀθη-
ναίοις μέτεστι. πρὸς δὲ τούτοις τῷ μὲν ἐλλείπειν
τῷ δ' ὑπερβάλλειν ὁ νόμος μοι δοκεῖ· τῶν μὲν γὰρ
ἰδίων ἀδικημάτων μεγάλην τιμωρίαν ταύτην νομίζω,
τῶν δὲ δημοσίων μικρὰν καὶ οὐδενὸς ἀξίαν ἡγοῦμαι
ζημίαν, ἐξὸν κολάζειν χρήμασι καὶ δεσμῷ καὶ θα-
νάτῳ. ἔτι δ' εἴ τις διὰ τοῦτο μεθίσταται ὅτι (πονη- 5
ρὸς) πολίτης ἐστίν, οὗτος οὐδ' ἀπελθὼν ἐνθένδε
παύσεται, ἀλλ' ὅπου ἂν οἰκῇ, ταύτην (τε) τὴν πόλιν
διαφθερεῖ, καὶ τῇδε οὐδὲν ἧττον ἐπιβουλεύσει, ἀλλὰ
καὶ μᾶλλον (καὶ) δικαιότερον ἢ πρὶν ἐκβληθῆναι.
οἶμαι δὲ καὶ τοὺς φίλους ὑμῶν ἐν ταύτῃ μάλιστα
τῇ ἡμέρᾳ λυπεῖσθαι καὶ τοὺς ἐχθροὺς ἥδεσθαι, συν-

3. ὃς] ὡς Dobr. — ἀποκτενεῖν cum Steph. R.: ἀποκτεί-
νειν. — διαψηφ. cum Schleiermach. Bk.: οὔτε διαψ. An
ἀλλὰ μόνον διαψ.?
5. (πονηρὸς) πολίτης ci. Emp. (κακὸς πολίτης ci. R.).
— ἐνθάδε A^d pr. — διαφθείρῃ AB; διαφθείρει ZM. —
καὶ μᾶλλον (καὶ) δικ. ci. R. — ὑμῶν Steph.: ἡμῶν. —

εἰδότας ὡς ἂν ἀγνοήσαντες ἐξελάσητε τὸν βέλτι-
στον, δέκα ἐτῶν ἡ πόλις οὐδὲν ἀγαθὸν ὑπὸ τούτου
6 τοῦ ἀνδρὸς πείσεται. ῥᾴδιον δὲ καὶ ἐντεῦθεν γνῶναι
τὸν νόμον πονηρὸν ὄντα· μόνοι γὰρ αὐτῷ τῶν Ἑλ-
λήνων χρώμεθα, καὶ οὐδεμία τῶν ἄλλων πόλεων
ἐθέλει μιμήσασθαι. καίτοι ταῦτα διέγνωσται ἄριστα
τῶν δογμάτων, ἃ καὶ τοῖς πολλοῖς καὶ τοῖς ὀλίγοις
ἁρμόττοντα μάλιστα τυγχάνει καὶ πλείστους ἐπιθυ-
μητὰς ἔχει.

7 Περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅ τι δεῖ μακρό-
τερα λέγειν· πάντως γὰρ οὐδὲν ἂν πλεῖον εἰς τὸ
παρὸν ποιήσαιμεν· δέομαι δ' ὑμῶν τῶν λόγων ἴσους
καὶ κοινοὺς ἡμῖν ἐπιστάτας γενέσθαι, καὶ πάντας
ἄρχοντας περὶ τούτων καταστῆναι, καὶ μήτε τοῖς
λοιδορουμένοις μήτε τοῖς ὑπὲρ καιρὸν | χαριζομένοις
ἐπιτρέπειν, ἀλλὰ τῷ μὲν θέλοντι λέγειν καὶ ἀκούειν
εὐμενεῖς εἶναι, τῷ δὲ ἀσελγαίνοντι καὶ θορυβοῦντι
χαλεπούς. ἀκούσαντες γὰρ ἑκάστου τῶν ὑπαρχόν-
των ἄμεινον βουλεύσεσθε περὶ ἡμῶν.

8 Ἔστι δὲ περὶ τῆς μισοδημίας καὶ τῆς στασιωτείας
βραχύς μοι λόγος καταλελειμμένος. εἰ μὲν γὰρ
ἄκριτος ἦν, εἰκότως ἂν τῶν (τε) κατηγορούντων
ἠκροᾶσθε καὶ ἐμοὶ ἀναγκαῖον ἦν ἀπολογεῖσθαι περὶ
τούτων· ἐπειδὴ δὲ τετράκις ἀγωνιζόμενος ἀπέφυγον,
οὐκέτι δίκαιον ἡγοῦμαι λόγον οὐδένα περὶ τούτου
γίγνεσθαι. πρὶν μὲν γὰρ κριθῆναι οὐ ῥᾴδιον [ἦν]
εἰδέναι τὰς αἰτίας, οὔτ' εἰ ψευδεῖς εἰσιν οὔτ' εἰ

ὑπὸ τοῦδε Bk.: ἀπὸ τοῦδε.
6. καὶ ἐντεῦθεν AB Bk. (ci. R.): ἐντεῦθεν.
7. μακρότερα Turr. et A[d]: μακροτέρα AB; μακρότερον v. — γὰρ οὐδὲν ci. R.: οὐδὲν γάρ. — ποιήσαιμεν Bk. post m. a. Taylori et A[d] M (correctus fort.): ποιήσοιμεν A sec. Bk., ποιήσωμεν v.
8. στασιωτίας ABZM. — καὶ καταλελ. ut videtur pr. A.

ἀληθεῖς· ἀποφυγόντος δὲ ἢ καταγνωσθέντος τέλος
ἔχει καὶ διώρισται τούτων ὁπότερόν ἐστιν. ὥστε 9
δεινὸν νομίζω τοὺς μὲν ἁλόντας μιᾷ ψήφῳ μόνον
ἀποθνήσκειν, καὶ τὰ χρήματα (ὑμᾶς) δημεύειν αὐτῶν,
τῶν δὲ νικησάντων πάλιν τὰς αὐτὰς κατηγορίας
ὑπομένειν, καὶ τοὺς δικαστὰς ἀπολέσαι μὲν κυρίους
εἶναι, σῶσαι δ' ἀκύρους καὶ ἀτελεῖς φαίνεσθαι,
ἄλλως τε καὶ τῶν νόμων ἀπαγορευόντων δὶς περὶ
τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μὴ ἐξεῖναι δικάζεσθαι,
καὶ ὑμῶν ὀμωμοκότων χρῆσθαι τοῖς νόμοις.
Ὧν ἕνεκα περὶ ἐμαυτοῦ παραλιπὼν Ἀλκιβιάδου 10
τὸν βίον ἀναμνῆσαι βούλομαι. καίτοι ἀπορῶ γε διὰ
τὸ πλῆθος τῶν ἁμαρτημάτων πόθεν ἄρξομαι, ἐμπο-
δὼν ἁπάντων ὄντων. περὶ μὲν οὖν μοιχείας καὶ γυ-
ναικῶν ἀλλοτρίων ἁρπαγῆς καὶ τῆς ἄλλης βιαιότητος
καὶ παρανομίας καθ' ἕκαστον εἰ δεήσειε λέγειν, οὐκ
ἂν ἐξαρκέσειεν ὁ παρὼν χρόνος, ἅμα δὲ πολλοῖς
ἀπεχθοίμην τῶν πολιτῶν, φανερὰς τὰς συμφορὰς
ποιῶν αὐτῶν. ἃ δὲ περὶ τὴν πόλιν εἴργασται καὶ
τοὺς προσήκοντας καὶ τῶν ἄλλων ἀστῶν καὶ ξένων
τοὺς ἐντυγχάνοντας, ἀποδείξω. Πρῶτον μὲν οὖν 11
πείσας ὑμᾶς τὸν φόρον ταῖς πόλεσιν ἐξ ἀρχῆς τάξαι
τὸν ὑπ' Ἀριστείδου πάντων δικαιότατα τεταγμένον,
αἱρεθεὶς ἐπὶ τούτῳ δέκατος αὐτὸς μάλιστα διπλά-
σιον αὐτὸν ἑκάστοις τῶν συμμάχων ἐποίησεν, ἐπι-

ἀποφεύγοντος ABZM.

9. ὥστε Steph.: ὡς. — ὑμᾶς addidi cum R., qui etiam δημεύεσθαι ci. cum Tayl. (δημόσι' εἶναι Cob.). — τοὺς δὲ νικήσαντας cum R. (qui etiam τὸν δὲ νικήσαντα) Turr. cf. 1, 104. — μὴ . . ἐξεῖναι A^d.

10. ἐμποδὼν] cf. Harp. s. v. (Ἀ. ἐν τῷ κατ' Ἀλκιβ.). — ἁπάντων] mal. ἅμα πάντων. — δεήσειε mal. Bait.: δεήσει.

11. τὸν ὑπ'] τῶν ὑπ' A. — ἐπὶ τούτων ut videtur A pr. (ἐπὶ τοῦτο ci. R.). — ἑκάστοις τῶν σ. scripsi: ἑκάστῳ

δείξας δ' αὑτὸν φοβερὸν καὶ μέγα δυνάμενον ἰδίας ἀπὸ τῶν κοινῶν προσόδους κατεσκευάσατο. σκέψασθε δὲ πῶς ἄν τις κακὰ μείζω τούτων κατασκευάσειεν, εἰ τῆς σωτηρίας ἡμῖν πάσης διὰ τῶν συμμάχων οὔσης, ὁμολογουμένως νῦν κάκιον ἢ πρότερον
12 πραττόντων, τὸν φόρον ἑκάστοις ἐδίπλασεν. ὥστ' εἴπερ ἡγεῖσθε πολίτην ἀγαθὸν Ἀριστείδην καὶ δίκαιον γεγονέναι, τοῦτον προσήκει κάκιστον νομίζειν ὡς τἀναντία περὶ τῶν πόλεων ἐκείνῳ γιγνώσκοντα. τοιγάρ τοι διὰ ταῦτα πολλοὶ τὴν πατρίδα τὴν αὑτῶν ἀπολιπόντες φυγάδες γίγνονται καὶ εἰς Θουρίους οἰκήσοντες ἀπέρχονται. δηλώσει δὲ ἡ τῶν συμμάχων ἔχθρα, ὅταν πρῶτον ἡμῖν καὶ Λακεδαιμονίοις γένηται ναυτικὸς πόλεμος. ἐγὼ δὲ νομίζω τὸν τοιοῦτον πονηρὸν εἶναι προστάτην, ὅστις τοῦ παρόντος (μόνον) χρόνου ἐπιμελεῖται, ἀλλὰ μὴ καὶ τοῦ μέλλοντος προνοεῖται, καὶ τὰ ἥδιστα τῷ πλήθει, παραλιπὼν τὰ
13 βέλτιστα, συμβουλεύει. Θαυμάζω δὲ τῶν πεπεισμένων Ἀλκιβιάδην δημοκρατίας ἐπιθυμεῖν, τοιαύτης πολιτείας ἣ μάλιστα κοινότητα δοκεῖ ᾑρῆσθαι, οἳ οὐδ' ἀπὸ τῶν ἰδίων αὐτὸν θεῶνται, ὁρῶντες τὴν πλεονεξίαν καὶ τὴν ὑπερηφανίαν, ὃς τὴν Καλλίου γήμας ἀδελφὴν ἐπὶ δέκα ταλάντοις, τελευτήσαντος Ἱππονίκου στρατηγοῦντος ἐπὶ Δηλίῳ ἕτερα τοσαῦτα προσεπράξατο, λέγων ὡς ὡμολόγησεν ἐκεῖνος, ὁπότε

τ. σ. cf. extr. §. — παρασκευάσειεν pr. A. — ἑκάστοις Turr.: ἑκάστης AB; ἑκάστου ZM; ἑκάστῳ v. — ἐδίπλασεν] διπλάσειεν codd. Turr.; διπλασιάσειεν R. Bk.

12. ὅταν πρῶτον ci. R.: πρῶτον ὅταν.

13. ἣ AB Bk.: ἦν. — ᾑρῆσθαι scripsi post Valck. et Sl.: εὑρῆσθαι (quo servato ante κοιν. add. διὰ cum R. Turr.). — οἳ Bk. cum A[d]: οἱ AB (sec. Bk.) M pr.; οἷαν v. (οἷαν οὐδ' ἐπὶ τ. ἰδ. αὐτὸν ἔχειν θεῶνται Ald.).

παῖς αὐτῷ ἐκ τῆς θυγατρὸς γένοιτο, προσθήσειν ταῦτα. λαβὼν δὲ τοσαύτην προῖκα ὅσην οὐδεὶς τῶν 14
Ἑλλήνων, οὕτως ὑβριστὴς ἦν, ἐπεισάγων εἰς τὴν αὐτὴν οἰκίαν ἑταίρας, καὶ δούλας καὶ ἐλευθέρας, ὥστ' ἠνάγκασε τὴν γυναῖκα σωφρονεστάτην οὖσαν ἀπολιπεῖν, ἐλθοῦσαν πρὸς τὸν ἄρχοντα κατὰ τὸν νόμον. οὗ δὴ μάλιστα τὴν αὑτοῦ δύναμιν ἐπεδείξατο· παρακαλέσας γὰρ τοὺς ἑταίρους, ἁρπάσας ἐκ τῆς ἀγορᾶς τὴν γυναῖκα ᾤχετο βίᾳ, καὶ πᾶσιν ἐδήλωσε καὶ τῶν ἀρχόντων καὶ τῶν νόμων καὶ τῶν ἄλλων πολιτῶν | καταφρονῶν. οὐ τοίνυν ταῦτα μόνον 15
ἐξήρκεσεν, ἀλλὰ καὶ λαθραῖον θάνατον ἐπεβούλευσε 31
Καλλίᾳ, ἵνα τὸν οἶκον τὸν Ἱππονίκου κατάσχοι, ὡς ἐναντίον πάντων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ κατηγόρει· καὶ τὰ χρήματα τῷ δήμῳ ἔδωκεν, εἴ πως τελευτήσειεν ἄπαις, φοβούμενος μὴ διὰ τὴν οὐσίαν ἀπόλοιτο. καίτοι ὅστις ὑβρίζει γυναῖκα τὴν ἑαυτοῦ καὶ τῷ κηδεστῇ θάνατον ἐπιβουλεύει, τί χρὴ προσδοκᾶν τοῦτον περὶ τοὺς ἐντυχόντας τῶν πολιτῶν διαπράττεσθαι; πάντες γὰρ ἄνθρωποι τοὺς οἰκείους τῶν ἀλλοτρίων ποιοῦνται περὶ πλείονος. ἀλλὰ μὴν οὐδ' ἔρημος (ἐκεῖνος) οὐδ' εὐαδίκητός ἐστιν, ἐπεὶ διὰ τὸν πλοῦτον ἔχει πολλοὺς τοὺς βοηθήσοντας. Ὃ δὲ 16
πάντων δεινότατόν ἐστι, τοιοῦτος ὢν ὡς εὔνους τῷ δήμῳ τοὺς λόγους ποιεῖται καὶ τοὺς ἄλλους ὀλιγαρχικοὺς καὶ μισοδήμους ἀποκαλεῖ· καὶ ὃν ἔδει τεθνάναι διὰ τὰ ἐπιτηδεύματα, κατήγορος τῶν διαβεβλημένων ὑφ' ὑμῶν αἱρεῖται, καί φησι φύλαξ εἶναι τῆς πολιτείας, οὐδενὶ τῶν ἄλλων Ἀθηναίων

15. ταῦτα (αὐτῷ) Hi. — ἐναντίων A et pr. M.
16. καὶ τοὺς Dobr. (vel τοὺς δ'): αὐτός. — ἔδει Dobr. Turr.: δεῖ. — ὑφ' ὑμῶν Emp. S.: ὑφ' ἡμῶν.

οὔτ' ἴσον οὔτ' ὀλίγῳ πλέον ἀξιῶν ἔχειν· ἀλλ' οὕτω σφόδρα καταπεφρόνηκεν ὥστε διατετέλεκεν ἀθρόους μὲν ὑμᾶς κολακεύων, ἕνα δ' ἕκαστον προπηλακίζων.
17 ὃς εἰς τοσοῦτον ἐλήλυθε τόλμης, ὥστε πείσας Ἀγάθαρχον τὸν γραφέα συνεισελθεῖν οἴκαδε τὴν οἰκίαν ἐπηνάγκαζε γράφειν, δεομένου δὲ καὶ προφάσεις ἀληθεῖς λέγοντος, ὡς οὐκ ἂν δύναιτο ταῦτα πράττειν ἤδη διὰ τὸ συγγραφὰς ἔχειν παρ' ἑτέρων, προεῖπεν αὐτῷ δήσειν, εἰ μὴ πάνυ ταχέως γράφοι. ὅπερ ἐποίησε· καὶ οὐ πρότερον ἀπηλλάγη πρὶν ἀποδρὰς ᾤχετο τετάρτῳ μηνί, τοὺς φύλακας λαθών, ὥσπερ παρὰ βασιλέως. οὕτω δ' ἀναίσχυντός ἐστιν, ὥστε προσελθὼν ἐνεκάλει αὐτῷ ὡς ἀδικούμενος, καὶ οὐχ ὧν ἐβιάσατο μετέμελεν αὐτῷ, ἀλλ' ὅτι κατέλιπε τὸ ἔργον ἠπείλει, καὶ οὔτε τῆς δημοκρατίας οὔτε τῆς ἐλευθερίας οὐδὲν ἦν ὄφελος· οὐδὲν γὰρ ἧττον ἐδε-
18 δήκει τῶν ὁμολογουμένων δούλων. ἀγανακτῶ δ' ἐνθυμούμενος ὑμῖν μὲν οὐδὲ τοὺς κακούργους ἀσφαλὲς εἰς τὸ δεσμωτήριον ὂν ἀπάγειν, διὰ τὸ χιλίας δραχμὰς τετάχθαι ἀποτῖσαι ὃς ἂν τὸ πέμπτον μέρος μὴ μεταλάβῃ τῶν ψήφων· ὁ δὲ τοσοῦτον χρόνον εἵρξας καὶ ἐπαναγκάζων γράφειν οὐδὲν κακὸν πέπονθεν, ἀλλὰ διὰ ταῦτα σεμνότερος δοκεῖ καὶ φοβερώτερος εἶναι. καὶ πρὸς μὲν τὰς ἄλλας πόλεις ἐν τοῖς συμβόλοις συντιθέμεθα μὴ ἐξεῖναι μήθ' εἶρξαι μήτε δῆσαι τὸν ἐλεύθερον· ἐὰν δέ τις παραβῇ, μεγάλην ζημίαν ἐπὶ τούτοις ἔθεμεν· τούτου δὲ τοιαῦτα πράξαντος οὐδεμίαν οὐδεὶς οὔτ' ἰδίαν οὔτε δημοσίαν
19 τιμωρίαν ποιεῖται. νομίζω δὲ ταύτην εἶναι σωτη-

17. ἐπηνάγκαζε scripsi: ἐπηνάγκασε. — παρ' ἑτέροις Dobr. (potius παρ' ἑτέρῳ). — παρὰ ante βασιλ. add. AB Bk. — ἐδεδήκει (s. ἐδεδέκει) Emp. Turr.: ἐδεδοίκει. — ὁμολογουμένως ci. R.

ρίαν ἅπασι, πείθεσθαι τοῖς ἄρχουσι καὶ τοῖς νόμοις·
ὅστις δὲ ὑπερορᾷ ταῦτα, τὴν μεγίστην φυλακὴν
ἀνῄρηκε τῆς πόλεως. δεινὸν μὲν οὖν ἐστι καὶ ὑπὸ
τῶν ἀγνοούντων τὰ δίκαια πάσχειν κακῶς, πολὺ δὲ
χαλεπώτερον, ὅταν τις ἐπιστάμενος τὰ διαφέροντα
παραβαίνειν τολμᾷ· φανερῶς γὰρ ἐνδείκνυται, ὥσ-
περ οὗτος, οὐκ αὐτὸς τοῖς νόμοις τοῖς τῆς πόλεως
ἀλλ' ὑμᾶς τοῖς αὐτοῦ τρόποις ἀκολουθεῖν ἀξιῶν.
Ἐνθυμήθητε δὲ Ταυρέαν, ὃς ἀντιχορηγὸς ἦν Ἀλκι- 20
βιάδῃ παισί. κελεύοντος δὲ τοῦ νόμου τῶν χορευ-
τῶν ἐξάγειν ὃν ἄν τις βούληται ξένον ἀγωνιζόμενον,
οὐκ ἐξὸν ἐπιχειρήσαντα κωλύειν, ἐναντίον ὑμῶν καὶ
τῶν ἄλλων Ἑλλήνων τῶν θεωρούντων καὶ τῶν ἀρ-
χόντων ἁπάντων παρόντων ἐν τῇ πόλει τύπτων ἐξή-
λασεν αὐτόν, καὶ τῶν θεατῶν συμφιλονεικούντων
ἐκείνῳ καὶ μισούντων τοῦτον, ὥστε τοῖν χοροῖν τὸν
μὲν ἐπαινούντων, τοῦ δ' ἀκροάσασθαι οὐκ ἐθελόν-
των, οὐδὲν πλεῖον ἔπραξεν· ἀλλὰ τῶν κριτῶν οἱ 21
μὲν φοβούμενοι οἱ δὲ χαριζόμενοι νικᾶν ἔκριναν
αὐτόν, περὶ ἐλάττονος ποιούμενοι τὸν ὅρκον ἢ τοῦ-
τον. εἰκότως δέ μοι δοκοῦσιν οἱ κριταὶ ὑπέρχεσθαι
Ἀλκιβιάδην ὁρῶντες Ταυρέαν μὲν τοσαῦτα χρήματα
ἀναλώσαντα προπηλακιζόμενον, τὸν δὲ τοιαῦτα | πα- 32
ρανομοῦντα μέγιστον δυνάμενον. αἴτιοι δ' ὑμεῖς,
οὐ τιμωρούμενοι τοὺς ὑβρίζοντας, καὶ τοὺς μὲν
λάθρᾳ ἀδικοῦντας κολάζοντες, τοὺς δὲ φανερῶς
ἀσελγαίνοντας θαυμάζοντες. τοιγάρτοι τῶν νέων αἱ 22

19. φανερὸς ABMZ. — vv. ὥσπερ οὗτος ante ἐπιστάμενος τὰ διαφ. transposita malim. — νόμοις τοῖς τῆς A[d] Bk.: ν. τοῖς A sec. Bk. B; ν. τῆς v. — αὑτοῦ Turr.: αὐτοῦ.

20. ξένον, ἀγωνιζόμενον Turr. cum Valck., qui δ' post. ἀγ. inserit. cf. Dem. 21, 60. — συμφιλονικούντων BW. — τοῖν χοροῖν mal. Bk.: τῶν χορῶν (an τὸν χορὸν τοῦ μὲν?). — πλέον Z.

21. μὲν τοσαῦτα scripsi: τοσ. μέν.

*διατριβαὶ οὐκ ἐν τοῖς γυμνασίοις ἀλλ' ἐν τοῖς δικα-
στηρίοις εἰσί, καὶ στρατεύονται μὲν οἱ πρεσβύτεροι,
δημηγοροῦσι δὲ οἱ νεώτεροι, παραδείγματι τούτῳ
χρώμενοι, ὃς τηλικαύτας ποιεῖται τῶν ἁμαρτημάτων
ὑπερβολάς, ὥστε περὶ τῶν Μηλίων γνώμην ἀποφη-
νάμενος ἐξανδραποδίζεσθαι, πριάμενος γυναῖκα τῶν
αἰχμαλώτων υἱὸν ἐξ αὐτῆς πεποίηται, ὃς τοσούτῳ
παρανομωτέρως Αἰγίσθου γέγονεν, ὥστ' ἐκ τῶν
ἐχθίστων ἀλλήλοις πέφυκε, καὶ τῶν οἰκειοτάτων
ὑπάρχει αὐτῷ τὰ ἔσχατα τοὺς μὲν πεποιηκέναι τοὺς*
23 *δὲ πεπονθέναι. ἄξιον δὲ τὴν τόλμαν αὐτοῦ σαφέ-
στερον ἔτι διελθεῖν. ἐκ ταύτης γὰρ παιδοποιεῖται
τῆς γυναικός, ἣν ἀντ' ἐλευθέρας δούλην κατέστησε,
καὶ ἧς τὸν πατέρα καὶ τοὺς προσήκοντας ἀπέκτεινε,
καὶ ἧς τὴν πόλιν ἀνάστατον πεποίηκεν, ὡς ἂν μά-
λιστα τὸν υἱὸν ἐχθρὸν ἑαυτῷ καὶ τῇ πόλει ποιήσειε·
τοσαύταις ἀνάγκαις κατείληπται μισεῖν. ἀλλ' ὑμεῖς
ἐν μὲν ταῖς τραγῳδίαις τοιαῦτα θεωροῦντες δεινὰ
νομίζετε, γιγνόμενα δ' ἐν τῇ πόλει ὁρῶντες οὐδὲν
φροντίζετε. καίτοι ἐκεῖνα μὲν οὐκ ἐπίστασθε πότε-
ρον οὕτω γεγένηται ἢ πέπλασται ὑπὸ τῶν ποιητῶν·
ταῦτα δὲ σαφῶς εἰδότες οὕτω πεπραγμένα παρανό-*
24 *μως ῥαθύμως φέρετε. Πρὸς δὲ τούτοις τολμῶσί
τινες περὶ αὐτοῦ λέγειν ὡς οὐδὲ γεγένηται οὐδεὶς
πώποτε τοιοῦτος. ἐγὼ δὲ νομίζω μέγιστα κακὰ τὴν
πόλιν ὑπὸ τούτου πείσεσθαι, καὶ τηλικούτων πραγ-
μάτων εἰς τὸν λοιπὸν χρόνον αἴτιον δόξειν, ὥστε
μηδένα τῶν προτέρων ἀδικημάτων μεμνῆσθαι· ἀνέλ-
πιστον γὰρ οὐδὲν τὸν τὴν ἀρχὴν τοῦ βίου τοιαύτην*

22. *παρανομωτέρως* R.: *παρανομώτατος* ABZ; *παρανομώτερος* v.
23. malim *οὕτω παρανόμως πεπραγμένα ῥαθύμως φ.*
24. *ἐγὼ δὲ*] malim *κἀγὼ δέ*. — *πρότερον* ZM. —

κατασκευασάμενον καὶ τὴν τελευτὴν ὑπερβάλλουσαν ποιήσασθαι. ἔστι δὲ σωφρόνων ἀνδρῶν φυλάττεσθαι τῶν πολιτῶν τοὺς ὑπεραυξανομένους, ἐνθυμουμένους ὑπὸ τῶν τοιούτων τὰς τυραννίδας καθισταμένας.

Ἡγοῦμαι δ' αὐτὸν πρὸς ταῦτα μὲν οὐδὲν ἀντε- 25
ρεῖν, λέξειν δὲ περὶ τῆς νίκης τῆς Ὀλυμπίασι, καὶ
περὶ πάντων μᾶλλον ἢ τῶν κατηγορηθέντων ἀπολο-
γήσεσθαι. ἐξ αὐτῶν δὲ τούτων ἐπιδείξω αὐτὸν ἐπι-
τηδειότερον τεθνάναι μᾶλλον ἢ σώζεσθαι. διηγήσο-
μαι δ' ὑμῖν. Διομήδης ἦλθε ζεῦγος ἵππων ἄγων 26
Ὀλυμπίαζε, κεκτημένος μὲν οὐσίαν μετρίαν, στεφανῶσαι δὲ ἀπὸ τῶν ὑπαρχόντων τὴν πόλιν καὶ τὴν οἰκίαν βουλόμενος, λογιζόμενος τοὺς ἀγῶνας τοὺς ἱππικοὺς τύχῃ τοὺς πλείστους κρινομένους. τοῦτον Ἀλκιβιάδης πολίτην ὄντα καὶ (οὐ) τὸν ἐπιτυχόντα, δυνάμενος παρὰ τοῖς ἀγωνοθέταις τῶν Ἠλείων, ἀφελόμενος αὐτὸς ἠγωνίζετο. καίτοι τί ἂν ἐποίησεν, εἴ τις τῶν συμμάχων τῶν ὑμετέρων ἀφίκετο ζεῦγος
ἵππων ἔχων; ἦ που ταχέως ἐπέτρεψεν ἂν ἀνταγωνί- 27
ζεσθαι ἑαυτῷ, ὃς Ἀθηναῖον ἄνδρα βιασάμενος τοῖς ἀλλοτρίοις ἐτόλμησεν ἵπποις ἁμιλλᾶσθαι, δηλώσας τοῖς Ἕλλησι μηδὲν θαυμάζειν ἄν τινα αὐτῶν βιάσηται, ἐπεὶ καὶ τοῖς πολίταις οὐκ ἐξ ἴσου χρῆται, ἀλλὰ τοὺς μὲν ἀφαιρούμενος, τοὺς δὲ τύπτων, τοὺς δὲ

ποιήσεσθαι mal. Bait. — *ὑπεραυξανομένους* AB Bk.: *ὑπεραυξομένους*.
25. *πρὸς ταῦτα* scripsi: *πρὸς τοῦτο*. — *ἀπολογήσασθαι* ABZM. — *ἐπιδείξω* A Turr.: *ἀποδείξω*.
26. *τύχῃ*] non recte *τέχνῃ* ci. Schi. Cob. Hi. — malim *τὸ πλεῖστον*. — *ἀφελόμ.* (*τοὺς ἵππους*) Hi. — *οὐ* ante *τὸν ἐπιτυχ.* cum Steph. add. Turr.
27. *ταχέως* (*γε*) Hi. — *Ἀθηναίων* AB Bk. — *βιάσηται* AB Bk.: *βιάζηται*. — *ἐπεὶ*] *ἐπειδὴ* pr. A. —

εἱργνύων, τοὺς δὲ χρήματα πραττόμενος, οὐδενὸς ἀξίαν τὴν δημοκρατίαν ἀποφαίνων, τοὺς μὲν λόγους δημαγωγοῦ τὰ δ' ἔργα τυράννου παρέχων, καταμαθὼν ὑμᾶς τοῦ μὲν ὀνόματος φροντίζοντας, τοῦ δὲ
28 πράγματος ἀμελοῦντας. τοσοῦτον δὲ διαφέρει Λακεδαιμονίων, ὥστ' ἐκεῖνοι μὲν καὶ ὑπὸ τῶν συμμάχων ἀνταγωνιζομένων ἀνέχονται ἡττώμενοι, οὗτος δὲ οὐδ' ὑπὸ τῶν πολιτῶν, ἀλλὰ φανερῶς προείρηκεν οὐκ ἐπιτρέψειν τοῖς ἀντεπιθυμοῦσί τινος. εἶτ' ἐκ τῶν τοιούτων ἀναγκαῖον τὰς πόλεις τῶν ἡμετέρων
29 πολεμίων ἐπιθυμεῖν, ἡμᾶς δὲ μισεῖν. Ἵνα δὲ μὴ μόνον Διομήδην ἀλλὰ καὶ τὴν πόλιν ὅλην ὑβρίζων ἐπιδείξειε, τὰ πομπεῖα παρὰ τῶν ἀρχιθεωρῶν αἰτη-
33 σάμενος | ὡς εἰς τἀπινίκια τῇ προτεραίᾳ τῆς θυσίας χρησόμενος, ἐξηπάτησε καὶ ἀποδοῦναι οὐκ ἤθελε, βουλόμενος τῇ ὑστεραίᾳ πρότερος τῆς πόλεως χρήσασθαι τοῖς χρυσοῖς χερνιβίοις καὶ θυμιατηρίοις. ὅσοι μὲν οὖν τῶν ξένων μὴ ἐγίγνωσκον ἡμέτερα ὄντα, τὴν πομπὴν τὴν κοινὴν ὁρῶντες ὑστέραν οὖσαν τῆς Ἀλκιβιάδου τοῖς τούτου πομπείοις χρῆσθαι ἐνόμιζον ἡμᾶς· ὅσοι δὲ ἢ παρὰ τῶν πολιτῶν ἤκουον ἢ καὶ ἐπεγίγνωσκον τὰ τούτου, κατεγέλων

ἀποφαίνει cum R. Turr.

28. προείρηκεν scripsi: εἴρηκεν.

29. Διομήδη Schi. — ἐπιδείξειε Emp. Turr. (ἐπιδείξαιτο ci. R.): ἐπιδόξειε. — τἀπινίκια Valck. (post Meursium) Bk.: τὰ πινάκια. — προτεραίᾳ Valck. (post Pierson.) Bk.: προτέρᾳ. — θυσίας cum Scal. et Tayl. Bk.: οὐσίας. — cf. Ath. 9 p. 408 D: Ἀττικοὶ χερνίβιον λέγουσιν, ὡς Λυσίας ἐν τῷ κατὰ Ἀλκιβ. λέγων οὕτως· τοῖς χρυσοῖς χερνιβίοις καὶ θυμιατηρίοις. Inde χερνιβίοις restit. cum Valck. Turr.: χερνίβοις (χερν.ίβοισ A[d]). cf. etiam Moer. Att. s. v. πομπεῖα, ubi perperam Thucydides laudatur. — τῆς Ἀλκ.] τοῖς Ἀ. A. — πομπίοις AZ et corr. M. — malim ἐπεγίγνωσκον οὐκ ὄντα τούτου. —

ἡμῶν, ὁρῶντες ἕνα ἄνδρα μεῖζον ἁπάσης τῆς πόλεως δυνάμενον.

Σκέψασθε δὲ καὶ τὴν ἄλλην ἀποδημίαν τὴν εἰς 30 *Ὀλυμπίαν ὡς διέθετο. τούτῳ σκηνὴν μὲν Περσικὴν Ἐφέσιοι διπλασίαν τῆς δημοσίας ἔπηξαν, ἱερεῖα δὲ καὶ τοῖς ἵπποις ἐφόδια Χῖοι παρεσκεύασαν, οἶνον δὲ καὶ τὰ ἄλλα ἀναλώματα Λεσβίοις προσέταξε. καὶ οὕτως εὐτυχής ἐστιν ὥστε τοὺς Ἕλληνας τῆς παρανομίας καὶ τῆς δωροδοκίας μάρτυρας κεκτημένος οὐδεμίαν δέδωκε δίκην, ἀλλὰ ὁπόσοι μὲν ἄρχοντες ἐν μιᾷ πόλει γεγένηνται, ὑπεύθυνοί εἰσιν, ὁ δὲ πάν-* 31 *των τῶν συμμάχων (ἄρχων) καὶ χρήματα λαμβάνων οὐδενὸς τούτων ὑπόδικός ἐστιν, ἀλλὰ τοιαῦτα διαπεπραγμένος σίτησιν ἐν Πρυτανείῳ ἔλαβε, καὶ προσέτι πολλῇ τῇ νίκῃ χρῆται, ὥσπερ οὐ πολὺ μᾶλλον ἠτιμακὼς ἢ ἐστεφανωκὼς τὴν πόλιν. εἰ δὲ βούλεσθε σκοπεῖν, εὑρήσετε τῶν τούτῳ πολλάκις πεπραγμένων ἕκαστον ὀλίγον χρόνον πράξαντάς τινας ἀναστάτους τοὺς οἴκους ποιήσαντας· οὗτος δ' ἐπιτηδεύων ἅπαντα πολυτελέστατα διπλασίαν οὐσίαν κέκτηται. καίτοι* 32 *ὑμεῖς γε νομίζετε τοὺς φειδομένους καὶ τοὺς ἀκριβῶς διαιτωμένους φιλοχρημάτους εἶναι, οὐκ ὀρθῶς γιγνώσκοντες· οἱ γὰρ μεγάλα δαπανώμενοι πολλῶν δεόμενοι αἰσχροκερδέστατοί εἰσιν. αἴσχιστον δὲ φανήσεσθε ποιοῦντες, εἰ τοῦτον μὲν ἀγαπᾶτε τὸν ἀπὸ τῶν ὑμετέρων χρημάτων ταῦτα κατεργασάμενον, Καλλίαν δὲ τὸν Διδυμίου, τῷ σώματι νικήσαντα πάντας (τοὺς) ἀγῶνας τοὺς στεφανηφόρους, ἐξωστρακίσατε*

μεῖζον ἁπάσης Sl. Bk.: *μείζονα πάσης*, quod retin. Schi.
30. *τούτῳ* Steph.: *τοῦτο.*
31. *ἄρχων* post Sluit., qui *ἐπάρχων* ci., addidi. — *τῶν τούτῳ πολλάκις* scripsi: *πολλὰ τῶν τούτῳ.*
32. *τοῦτο* cum Steph. Bk.: *τοῦτον* v. Turr. (*τούτων* R.).

πρὸς τοῦτο οὐδὲν ἀποβλέψαντες, ὃς ἀπὸ τῶν ἑαυτοῦ
33 *πόνων ἐτίμησε τὴν πόλιν. ἀναμνήσθητε δὲ καὶ τοὺς*
προγόνους, ὡς ἀγαθοὶ καὶ σώφρονες ἦσαν, οἵτινες
ἐξωστράκισαν Κίμωνα διὰ παρανομίαν, ὅτι τῇ
ἀδελφῇ τῇ ἑαυτοῦ συνῴκησε. καίτοι οὐ μόνον αὐ-
τὸς ὀλυμπιονίκης ἦν, ἀλλὰ καὶ ὁ πατὴρ αὐτοῦ Μιλ-
τιάδης. ἀλλ' ὅμως οὐδὲν ὑπελογίζοντο τὰς νίκας·
οὐ γὰρ ἐκ τῶν ἀγώνων ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων
ἔκρινον αὐτόν.

34 *Ἀλλὰ μὴν εἰ δεῖ κατὰ γένος σκοπεῖν, ἐμοὶ μὲν οὐδαμόθεν προσήκει τούτου τοῦ πράγματος, οὐδὲ ἔστιν οὐδεὶς ὅστις ἂν ἀποδείξειε τῶν ἡμετέρων οὐδένα τῇ συμφορᾷ ταύτῃ χρησάμενον, Ἀλκιβιάδῃ δὲ μάλιστα πάντων Ἀθηναίων. καὶ γὰρ ὁ τῆς μητρὸς πατὴρ Μεγακλῆς καὶ ὁ πάππος Ἀλκιβιάδης (δὶς) ἐξωστρακίσθησαν ἀμφότεροι, ὥστ' οὐδὲν θαυμαστὸν οὐδ' ἄτοπον πείσεται τῶν αὐτῶν τοῖς προγόνοις ἀξιούμενος. καὶ μὴν οὐδ' ἂν αὐτὸς ἐπιχειρήσειεν ἀντειπεῖν ὡς οὐ τῶν ἄλλων ἐκεῖνοι παρανομώτατοι ὄντες τούτου σωφρονέστεροι καὶ δικαιότεροι ἦσαν, ἐπεὶ τῶν γε τούτῳ πεπραγμένων οὐδ' ἂν εἷς ἀξίως κατηγορῆσαι δύναιτο.*

35 *Νομίζω δὲ καὶ τὸν θέντα τὸν νόμον ταύτην τὴν διάνοιαν ἔχειν· ἀποβλέψαντα τῶν πολιτῶν πρὸς τοὺς κρείττους τῶν ἀρχόντων καὶ τῶν νόμων, ἐπειδὴ παρὰ τῶν τοιούτων οὐκ ἔστιν ἰδίᾳ δίκην λαβεῖν, δημοσίαν τιμωρίαν ὑπὲρ τῶν ἀδικουμένων κατασκευάσαι. ἐγὼ (μὲν) τοίνυν ἔν τε τῷ κοινῷ κέκριμαι τε-*

ὃς A Turr.: ὡς.
33. *Κόνωνα* ZM Ald.
34. *Ἀλκιβιάδῃ* cum Valck. et R. Bk.: *Ἀλκιβιάδης*. — *δὶς* cum Markl. add. Turr. coll. Lys. 14, 39.

τράκις, ἰδίᾳ τε οὐδένα διεκώλυσα δικάζεσθαι βουλόμενον· Ἀλκιβιάδης δὲ τοιαῦτα ἐργασάμενος οὐδεμίαν πώποτε δίκην ὑποσχεῖν ἐτόλμησεν. οὕτω γὰρ 36
χαλεπός ἐστιν, ὥστε οὐ περὶ τῶν παρεληλυθότων ἀδικημάτων αὐτὸν τιμωροῦνται ἀλλ' ὑπὲρ τῶν μελλόντων φοβοῦνται, καὶ τοῖς μὲν πεπονθόσι κακῶς ἀνέχεσθαι λυσιτελεῖ, τούτῳ δὲ οὐκ ἐξαρκεῖ, εἰ μὴ καὶ τὸ λοιπὸν ὅ τι ἂν βούληται | διαπράξεται. καί- 34
τοι οὐ δήπου ὦ Ἀθηναῖοι ὀστρακισθῆναι μὲν ἐπιτήδειός εἰμι, τεθνάναι δὲ οὐκ ἄξιος, οὐδὲ κρινόμενος μὲν ἀποφυγεῖν, ἄκριτος δὲ φεύγειν, οὐδὲ τοσαυτάκις ἀγωνιζόμενος νικήσας δικαίως ἂν πάλιν δόξαιμι δι' ἐκεῖνα ἐκπεσεῖν. ἀλλὰ γὰρ ἴσως μετὰ 37
μικρᾶς διαβολῆς ἢ φαύλων κατηγόρων ἢ διὰ τῶν ἐπιτυχόντων ἐχθρῶν ἐκινδύνευον, ἀλλ' οὐ διὰ τῶν ἐρρωμενεστάτων καὶ λέγειν καὶ πράττειν, οἵ τινες δύο τῶν τὴν αὐτὴν αἰτίαν ἐχόντων ἐμοὶ ἀπέκτειναν. οὔκουν τοὺς τοιούτους δίκαιον ἐκβάλλειν, οὓς πολλάκις ἐλέγχοντες εὑρίσκετε μηδὲν ἀδικοῦντας, ἀλλὰ τοὺς μὴ θέλοντας ὑποσχεῖν τῇ πόλει περὶ τοῦ βίου λόγον. δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ μέν τις ἀπολο- 38
γεῖσθαι ἀξιώσειεν ὑπὲρ τῶν ἀποθανόντων ὡς ἀδίκως ἀπολώλασιν, οὐκ (ἂν) ἀνασχέσθαι τῶν ἐπιχειρούντων· εἰ δέ τις τῶν ἀποφυγόντων πάλιν περὶ τῆς αὐτῆς αἰτίας κατηγορεῖ, πῶς οὐ δίκαιον περὶ τοὺς

35. *ἰδίαν* pr. A. — *ἐγὼ (μὲν)* mal. Bk. cf. § 40. — malim *περί τε τῶν κοινῶν.*

36. *αὐτὸν*] *αὐτῶν* ZM et pr. A. — *διαπράξεται* cum Bk. Turr.: *διαπράξηται.* — *φεύγειν, οὐδὲ* R. post Tayl.: *φεύγειν, ὁ δὲ*, quod serv. Schi., interrogationis signo post *ἐκπ.* posito. — *νικήσας δικαίως ἂν*] *καὶ νικ. δικ.* cum R. Turr., qui desiderant *ἂν*; *δικαίως καὶ νικήσας* v.

38. *οὐκ (ἂν) ἀνασχ.* cum R. Bk.; sed etiam *ὑμᾶς* desideratur. — *ἐπιχειρούντων* corr. A.

ζῶντας καὶ τοὺς τεθνηκότας τὴν αὐτὴν γνώμην
39 ἔχειν; ἔστι μὲν οὖν Ἀλκιβιάδου μήτε αὐτὸν τῶν
νόμων καὶ τῶν ὅρκων φροντίζειν, ὑμᾶς τε παραβαί-
νειν ἐπιχειρεῖν διδάσκειν, καὶ τοὺς μὲν ἄλλους ἐκ-
βάλλειν καὶ ἀποκτείνειν ἀνηλεῶς, αὐτὸν δὲ ἱκε-
τεύειν καὶ δακρύειν οἰκτρῶς. καὶ ταῦτα μὲν οὐ
θαυμάζω· πολλῶν γὰρ αὐτῷ κλαυμάτων ἄξια εἴργα-
σται· ἐνθυμοῦμαι δὲ τίνας ποτὲ καὶ πείσει δεόμενος,
πότερα τοὺς νεωτέρους, οὓς πρὸς τὸ πλῆθος διαβέ-
βληκεν ἀσελγαίνων καὶ τὰ γυμνάσια καταλύων καὶ
παρὰ τὴν ἡλικίαν πράττων, ἢ τοὺς πρεσβυτέρους,
οἷς οὐδὲν ὁμοίως βεβίωκεν, ἀλλὰ τῶν ἐπιτηδευμά-
40 των αὐτῶν καταπεφρόνηκεν; Οὐ μόνον δὲ αὐτῶν
ἕνεκα τῶν παρανομούντων, ἵνα δίκην διδῶσιν, ἐπι-
μελεῖσθαι ἄξιον, ἀλλὰ καὶ τῶν ἄλλων, ὅπως τού-
τους ὁρῶντες δικαιότεροι καὶ σωφρονέστεροι γίγνων-
ται. ἐμὲ μὲν τοίνυν ἐξελάσαντες τοὺς βελτίστους
περιδεεῖς καταστήσετε, τοῦτον δὲ κολάσαντες τοὺς
ἀσελγεστάτους νομιμωτέρους ποιήσετε.

41 Βούλομαι δ' ὑμᾶς ἀναμνῆσαι τῶν ἐμοὶ πεπραγ-
μένων. ἐγὼ γὰρ πρεσβεύσας εἰς Θετταλίαν καὶ Μα-
κεδονίαν καὶ εἰς Μολοττίαν καὶ εἰς Θεσπρωτίαν καὶ
εἰς Ἰταλίαν καὶ εἰς Σικελίαν τοὺς μὲν διαφόρους
ὄντας διήλλαξα, τοὺς δ' ἐπιτηδείους ἐποίησα, τοὺς
δ' ἀπὸ τῶν ἐχθρῶν ἀπέστησα. καίτοι εἰ τῶν πρε-
σβευόντων ἕκαστος τὰ αὐτὰ ἐποίησεν, ὀλίγους ἂν

39. post πότερα litt. 3 vel 4 erasae in A.

40. τούτους] κολαζομένους addi mal. R. „vel deest participium vel lege τοῦτο" Dobr. — vv. τοὺς βελτ. — κολάσαντες add. ABP Bk. — ἀσελγεστάτους S. Emp.: ἀσελγεστέρους.

41. γὰρ post ἐγὼ add. A Bk. — καὶ (εἰς) Μακεδ. S. — Μολοττίαν scripsi: Μολοσσίαν (μολοσίαν BZM). — malim διαφόρους (ὑμῖν). — πρεσβευόντων Luzac.: πρωτευόντων.

πολεμίους εἴχετε καὶ πολλοὺς συμμάχους ἐκέκτησθε. περὶ δὲ τῶν λειτουργιῶν οὐκ ἀξιῶ μεμνῆσθαι, 42
πλὴν κατὰ τοσοῦτον, ὅτι τὰ προσταττόμενα δαπανῶ οὐκ ἀπὸ τῶν κοινῶν ἀλλ' ἀπὸ τῶν ἰδίων. καίτοι τυγχάνω νενικηκὼς εὐανδρίᾳ καὶ λαμπάδι καὶ τραγῳδοῖς, οὐ τύπτων τοὺς ἀντιχορηγοῦντας, οὐδ' αἰσχυνόμενος εἰ τῶν νόμων ἔλαττον δύναμαι. τοὺς οὖν τοιούτους τῶν πολιτῶν πολὺ μᾶλλον ἐπιτηδείους ἡγοῦμαι μένειν ἢ φεύγειν.

42. εὐανδρίᾳ] cf. Harp. s. v. (Ἀνδ. ἐν τῷ κατ' Ἀλκιβ.).

FRAGMENTA.

ΠS. I. ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ.

Eandem orationem et hac inscriptione et ea quae est *πρὸς τοὺς ἑταίρους* designari Kirchhoffius (Herm. I, 6) recte fortasse coniecit.

2 1. *εὐωχεῖν ἀντὶ τοῦ εὐωχεῖσθαι Ἀνδ. Συμβουλευτικῷ.* Antiattic. B. A. 94, 21.

3 2. *Ναυκρατίαν Ἀνδ. Συμβουλευτικῷ.* Phot. p. 288, 23.

III II. ΠΡΟΣ ΤΟΥΣ ΕΤΑΙΡΟΥΣ.

V. quae adnotata sunt ad or. I. Epistulam Quadringentorum tempore ad Pisandrum eiusque socios conscriptam intellegunt Ruhnkenius et Sauppius; mihi recte Kirchhoffius ad a. 420—418 rettulisse videtur. cf. ad fr. 4 et 5.

4 3. *Καὶ τάφον μὲν αὐτοῦ* (Themistoclis) *λαμπρὸν ἐν τῇ ἀγορᾷ Μάγνητες ἔχουσι· περὶ δὲ τῶν λειψάνων οὔτ' Ἀνδοκίδῃ προσέχειν ἄξιον ἐν τῷ πρὸς τοὺς ἑταίρους λέγοντι φωράσαντας τὰ λείψανα διαρρῖψαι τοὺς Ἀθηναίους· ψεύδεται γὰρ ἐπὶ τὸν δῆμον παροξύνων τοὺς ὀλιγαρχικούς.* Plut. Themist. c. 32.

Or. I S. *περὶ τῆς ἐνδείξεως* (Harp. s. v. *ζητηταί*, Pseudoplut. § 14) mihi cum Tayloro (quamquam aliter Valesio, Sluitero, Sauppio visum est) non diversa a prima nostra fuisse videtur. Cf. ad Vit. l. c., ubi et de orat. adv. Phaeacem, quam commemorat biographus, adnotatum est.

4. Ad orat. *πρὸς τοὺς ἑταίρους* referunt Kirchh. S.:

4. *σκάνδικα οὖν λάχανα οὐ τὰ ἐκ τῶν κηπίων,* 5
ἀλλὰ τὰ αὐτομάτως φυόμενα, ὥς φησιν Ἀνδοκίδης· μὴ γὰρ ἴδοιμέν ποτε πάλιν ἐκ τῶν ὀρέων τοὺς ἀνθρακευτὰς ἥκοντας εἰς τὸ ἄστυ, καὶ τὰς ἁμάξας καὶ πρόβατα καὶ βοῦς καὶ γύναια . . . . ., καὶ πρεσβυτέρους ἄνδρας καὶ ἐργάτας ἐξοπλιζομένους· μηδὲ ἄγρια λάχανα καὶ σκάνδικας ἔτι φάγοιμεν. Suid. 2, 2 p. 780, ex scholio ad Ar. Ach. 477 eis quae nunc habemus pleniore.

5. *Ἀνδοκίδης φησὶ τοίνυν· περὶ Ὑπερβόλου* 6
λέγειν αἰσχύνομαι, οὗ ὁ μὲν πατὴρ ἐστιγμένος ἔτι καὶ νῦν ἐν τῷ ἀργυροκοπείῳ δουλεύει τῷ δημοσίῳ, αὐτὸς δὲ ξένος ὢν καὶ βάρβαρος λυχνοποιεῖ. Schol. Ar. Vesp. 1007 cf. Schol. Lucian. p. 46 ed. Jacobitz.

6. *ἀρετὴ Ἀνδοκίδης καὶ Θουκυδίδης ἀντὶ τοῦ εὐδοξία.* Suid. I, 1 p. 706.

7. *Αὐτόπτης ὡς Ἀνδοκίδης, καὶ σύνοπτον καὶ* 7
σύνοπτα. Poll. 2, 58.

quamquam, si ab illa diversa *συμβουλευτικός*, huius quoque fuisse potest. Apparet ante occupatam Deceleam haec verba scripta esse, quae depingunt statum Atticae primis Peloponnesiaci belli temporibus. cf. S. et Kirchh. l. c. — vv. *εἰς τὸ ἄστυ* S. coniectura huc transposui: legebantur v. post *τὰς ἁμάξας*. S. praeterea etiam *τὰ γύναια* ante *καὶ τὰς ἁμ.* transponi vult et post *ἁμ.* addi *ἄγοντας*; Bernhardy *συγκομιζομένους* desiderat, cuius generis verbum mihi quoque excidisse videtur. — 5. Recte admonent S. et Kirchh. haec verba scripta esse ante a. 417/6 (418 Kirchh.), quo anno Hyperbolus in exilium pulsus est. — 7. S. secundum vulg. ante Bekk. lectionem ita locum exhibet: *καὶ σύνοπτον ὡς Ἀνδ. καὶ σύνοπτα.*

INDEX

NOMINUM ET RERUM MEMORABILIUM.

K.

Λ.

M.

N.

T.

Υ.

Φ.

Χ.

Ψ.

Ω.

DINARCHI ORATIONES

ADIECTO DEMADIS QUI FERTUR

FRAGMENTO

EDIDIT

FRIDERICUS BLASS.

LIPSIAE,
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXI.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

Satis miro casu factum est, ut et antiquissimi inter oratores Atticos et novissimi ea quae supersunt opera iisdem codicibus nobis tradita sint: quorum codicum inter se non alia in Dinarcho atque in Antiphonte condicio atque ratio est. Quare cum ad ea quae in praefatione Antiphontis editioni praemissa de hac re exposui fortasse ablegare possim, satius tamen videtur hic quoque eadem paucis repetere.

Eorum vitiorum quibus Aldina editio princeps orationes Dinarchi confoedatas praebet, magna pars omnium sex codicum NABLZM consensu sublata est; alia multa tribus codicibus NAB coarguuntur; sunt etiam loci non pauci quibus soli NA (vel A pr.) veram lectionem servaverint, denique persaepe unus Oxoniensis N vitium ceteris omnibus commune tollit. Contra nusquam fere accidit, ut NAB codices falsam, veram ceteri codices lectionem habeant; paullo saepius ut NA (vel A pr.) praeter ceteros in erroris communione sint; sed et N et A saepissime suis ac propriis corruptelis sunt infecti. Si numerare velis, paullo minus LXX locos invenias, quibus NA (vel A pr.) aliud atque ceteri codices praebeant, quarum lectionum plus XL procul dubio verae sunt; Crippsianus A proprias lectiones plus XL vel habet vel ha-

buit, sed eas paene omnes falsas*); denique Oxoniensis circiter CLX locis a ceteris recedit, ita quidem ut earum lectionum tertia ferme pars falsa, tertia vera videatur, de reliquis iudicium minus constet. Qua in computatione eorum locorum rationem non habui, quibus Oxoniensis verborum collocationem aliam atque ceteri codices habet: qui sunt fere quadraginta numero. Correctus est Crippsianus permultis locis, saepe ab ipsa prima manu, saepe ab alia, quae colore atramenti facile distinguitur. Sed hic alter corrector libro adhibito omnibus numeris deteriore magis corrupit quam correxit codicem. Oxoniensis vix decem locis correctoris manum expertus est, quae uno loco (1, 112) quaedam quae male omissa erant ex alio libro addidit, interdum autem pro libidine vel recte vel falso mutasse videtur (cf. 1, 1. 64).

Quae cum ita sint, primum id consentaneum est, trium codicum NAB consensu semper rem constare, neque ibi ceterorum rationem ullam habendam esse. Itaque huiusmodi locis nihil a me adnotatum est. Gravissimus codicum N et A consensus neque facile neglegendus; propriae lectiones Crippsiani non ita magni faciendae, Oxoniensis maximi.

---

*) Uno loco A pr. solus verum servavit: 1, 108 ἀπολογεῖσθαι pro ἀπολεῖσθαι. A corr. solus habet ἐγκεχείρικεν 1, 9 (ἐγκεχείρηκεν); γινόμενος 1, 47 (γενόμενος); 1, 78 ὅ τεταραγμένης cum Ald. (ὅτε τεταρ.); 93 ἰδίᾳ (ἴδια); 97 διαπεπραγμένους corr.[2] (δὲ πεπραγμένους). AB soli veras lectiones hasce praebent: κατέστη 1, 74 (κατεστάθη); ἐπεὶ A corr.[1] et B 81 (ἐπί); ἂν ἔπραξεν 3, 11 (B et rec. A: ἔπραξεν ἂν L Ald., ἔπραξεν cett.), quibus addas 1, 112 κἂν AB et rec. N. De τιμησάμενος 3, 2 parum constat, cum Bekkerus nihil adnotaverit; in A exstare Dobsonus testatur.

Quamquam de hac quidem re inter homines doctos magna dissensio est. Turicenses enim editores, qui primi Oxoniensi usi sunt, quum multis locis eius lectiones recipere cogerentur, tamen ad librarii docti hominis coniecturas ista omnia referenda esse contenderunt; at contra et Maetznerus ad huius praesertim normam codicis, ut sincerissimi fontis, editionem suam constituit, et Fr. Frankius Oxoniensis auctoritatem acriter defendit*). Accuratius autem ab his viris in Antiphonte, cuius eadem prorsus condicio, de ea re quaesitum ac disputatum est; in Dinarcho Oxoniensem interpolatum esse nemo adhuc dedita opera comprobare studuit. Quo magis ipse, qui in illo quoque oratore ad Maetzneri opinionem haud cunctanter accesserim, in hoc autem ne levissimum quidem interpolationis vestigium in Oxoniensi dispicere possim, hunc unum prae ceteris codicem quatenus eius fieri posset sequendum esse duxi.

Quod ad verborum collocationem attinet, cum Maetznero semper eam quam Oxoniensis praebet recepi, idque eo magis feci, quod non uno loco vulgatae aliquantum praestare videbatur. Exempla ut addam, or. 2, 22 *κατὰ τῶν νῦν μόνων ἀπεφασμένων* ceteri codices, *κατὰ τῶν νῦν ἀποπεφ. μόνων* N praebet, quod coniecerat Reiskius. I, 109 idem Reiskius in verbis *καλοὺς καὶ πολλοὺς κινδύνους* non sine causa offendit: quod desideraverat ille *πολλοὺς καὶ καλοὺς κινδ.* exstat in Oxoniensi. At coniectura mutatum, obiectet aliquis. Num igi-

*) Cf. ed. Turr. praef. p. III sq. — Maetzner. praef. — Fr. Franke N. Jen. Litteraturztg. 1842 nr. 249 sq.

tur hoc quoque quod iam proponam ad coniecturam referri potest? 2, 10 τὴν αὐτὴν ἀρχήν vulgo, αὐτὴν τὴν ἀρχήν in Oxoniensi legitur: ταύτην τὴν ἀρχήν, quae est procul dubio vera lectio, e Meieri coniectura receperunt Turicenses. Contra nusquam accidit ut prave N, rectius ceteri codices verba collocent. Praeterea id quoque Oxoniensi concessi, ut in ν ἐφελκυστικῷ, elisione, crasi quaeque similia sunt vel adhibendis vel non adhibendis eius auctoritatem sequerer: quibus de rebus ut nullius fere momenti nihil adnotavi. Pari modo vel ἑαυτοῦ vel αὑτοῦ, σεαυτοῦ vel σαυτοῦ, γίγνεσθαι et γιγνώσκειν vel γίνεσθαι et γινώσκειν secundum Oxoniensis potius lectiones quam ex certa aliqua norma scripsi; non enim praestare ausim ultimum quoque oratorum Atticorum antiquiores formas γίγνεσθαι et γιγνώσκειν semper adhibuisse. Sunt haec quoque satis levia: itaque commentarios nimiae iam amplitudinis his rebus insuper augeri nolui.

Adieci autem eis quae dixi detractis integram varietatem NA codicum, praeterquam sicubi in accentu vel spiritu vel ι adscripto vel denique interpunctione ab iis peccatum erat. Lectiones eas quae ceterorum codicum communes sunt item addidi. Videtur autem Crippsianus, quae etiam Sauppii nunc sententia est, ex eodem exemplari descriptus esse quod Oxoniensis fons fuit; ceteros ex A corr. fluxisse non improbabile est. Certe ad unum omnes exemplar redeunt.

Istud autem archetypon et lacunosum satis et interpolationibus quibusdam confoedatum fuisse facile perspicitur. Interpolationum audacissimus indagator

exstitit Kleynius Batavus: ipse in delendo iusto parcior fui, neque quinque amplius locis eam medelam adhibui. I, 18 verba *συμπεπλεγμένα ὡς ἔφασαν* (*φασὶν* primo fuisse videtur) *ἐκ τῶν θαλλῶν* cum Sauppio delevit Maetznerus. — II, 5 integra sententia paullum commutata e § 8 translata est, quam cum Bekkero eiecerunt Turicenses. — 2, 6 *πότερ' ἡ τῆς βουλῆς ἀπόφασις, ἐὰν μὲν — — — ἀληθὴς καὶ δικαία ἔσται ἡ κατ' Ἀριστογείτονος ἀπόφασις*] *ἡ κατ' Ἀριστ. ἀπόφ.* del. Dobr., *ἀπόφασις* eiecit Mr. Cf. 3, 5. — 2, 20 *καὶ μὴ προέσθαι καὶ μὴ προδοῦναι*] tria posteriora vocabula deleri mal. Maetzner. — 2, 26 *ἐκ Πελοποννήσου πάσης* cum Bk. del. Wm. Turr. Sed praeterea nunc deleta malim: 1, 103 *ἐν Ὀλυμπίᾳ* cum Kleynio; 111 *ὑπὲρ Κτησίππου καὶ Φορμίωνος καὶ ἑτέρων πολλῶν*; 2, 12 *τῶν παρανόμων*; 15 *γνώριμος καὶ φανερὸς καί*; 3, 5 *τῆς ἐν τῷ ψηφίσματι γεγραμμένης*, et similia alia interpretamenta inesse multa persuasum habeo.

Collatus est Crippsianus primum a Bekkero, qui non pauca neglexit, accuratius deinde a Dobsono (A^d) *). Bekkerus praeterea codices habuit BLZ, Dobsonus M. Oxoniensis et ipse bis colla-

*) Ipse quoque ex eo codice quaedam enotavi, inquirens in ea maxime, quae a secunda manu illata essent: itaque in adnotatione mea aliquanto diligentius quam antea factum erat inter duas manus distinctum est. Ubi delevit tantummodo corrector neque sua adscripsit, consentaneum est uter fuerit sciri non posse; sed praeterea sicubi simpliciter A corr. scriptum exstat, e meae collationis ratione prima manus semper intellegenda est, quamquam diserte id testari nolui.

tus est: primum in Turicensium editorum usum a Fr. Thurlando, alia collatio Maetznero praesto fuit (N[m]).

Editiones quae ante Bekkerum prodierunt praeter Aldinam Stephani, Hieron. Wolfii, Reiskii (R.) commemorandae sunt, post eum qui Dinarchum ederent exstiterunt Dobsonus, Car. Ern. Aug. Schmidtius, Turicenses editores Baiterus et Sauppius (Turr., Bait., S.), Maetznerus (Mr.). Emendandis pluribus paucioribusve locis de Dinarcho bene meruerunt recentiore tempore Wurmius (Commentationes in Dinarch., Norimb. 1828), Dobreus, quorum utriusque copiis iam priores editores usi sunt, praeterea Emperius, Frankius (Fr., N. Jen. Litteraturztg. 1842 nr. 249 sqq.; Jahn. Annal. XXVIII p. 67); M. H. E. Meierus (Allg. Litteraturztg. 1843 p. 465 sqq.), Cobetus (Cb.), Hirschigius (Hi.; Philol. 1850 p. 326 sqq.), Kleynius (Dinarchea, Mnemos. VIII p. 81).

In universum Dinarchus, nostro certe tempore, studia hominum doctorum minus excitavit, neque id cuiquam mirum videri potest. Senescentis haec eloquentiae Atticae monumenta habemus, retinentis etiamnum antiquam formam neque in aliam abeuntis, sed vigore pristino nativoque robore magna ex parte destitutae. Figuris quibusdam oratoriis, velut *ἐπαναλήψει*, *ἀποστάσει* (qua absque coniunctione et dirempta ab eis quae proxime praecedunt sententia infertur) ultra modum orator abutitur, quippe quas traditas a prioribus acceperit, non ipse sponte sua inveniat, et expilat Aeschinem, Demosthenem, Iso-

cratem*), excidiique Thebarum mentione facta confert ea quae a quoquam de ea re egregie dicta videbantur**). Accedunt alia magis etiam vitio vertenda: quod neque certum aliquem in enarrando probandoque ordinem sequitur et licenter errat et omnia contingens admodum pauca conficit, et quod calumniatur potius quam accusat neque probat magis quam acerba convicia ingerit. Confer Hyperidis in Demosthenem fragmenta: hominem conspicies prudentem rerum publicarum, moderati nescio quid et humani invenies. Quae dum omnia reputant quidam in eam sententiam ablati sunt ut sophistae cuiusdam recentioris opera haec nos habere arbitrarentur: adiuti illi quidem Demetrii Magnetis auctoritate, qui orationem in Demosthenem a Dinarcho abiudicavit***). Equidem praestare non ausim, quod probare nequeo, Dinarchi potius orationes esse quam vel Menesaechmi vel alius cuiusdam ex istius aetatis oratoribus; sed cum antiquitus illius nomine insignitae fuerint et Demetrii iudicium ceterorum omnium maximeque Dionysii contraria sententia elevetur, Dinarchi esse credo; nam confictas a sophista non esse certum mihi indubitatumque est.

---

*) Cf. Westermann. Quaest. Demosth. III, 80 n. 118 sqq.

**) § 24.

ἀπιέναι, καὶ τοὺς διδασκάλους τὰ διδασκαλεῖα καὶ τοὺς

παιδοτρίβας τὰς παλαίστρας ἀνοίγειν μὲν ἀπαγορεύει 35
μὴ πρότερον, πρὶν ἂν ὁ ἥλιος ἀνίσχῃ, κλήειν δὲ προστάττει πρὸ ἡλίου δεδυκότος, τὰς ἐρημίας καὶ τὸ σκότος ἐν πλείστῃ ὑποψίᾳ ποιούμενος· καὶ τοὺς νεανίσκους τοὺς εἰσφοιτῶντας οὕστινας δεῖ εἶναι καὶ ἅστινας ἡλικίας ἔχοντας, καὶ ἀρχὴν ἥτις ἔσται ἡ τούτων ἐπιμελησομένη, καὶ περὶ παιδαγωγῶν ἐπιμελείας καὶ περὶ Μουσείων ἐν τοῖς διδασκαλείοις καὶ περὶ Ἑρμαίων ἐν ταῖς παλαίστραις, καὶ τὸ τελευταῖον περὶ τῆς συμφοιτήσεως τῶν παίδων καὶ τῶν χορῶν τῶν ἐγκυκλίων.
11 *κελεύει γὰρ τὸν χορηγὸν τὸν μέλλοντα τὴν οὐσίαν τὴν ἑαυτοῦ ἀναλίσκειν ὑπὲρ τετταράκοντα ἔτη γεγονότα τοῦτο πράττειν, ἵν᾽ ἤδη ἐν τῇ σωφρονεστάτῃ αὑτοῦ* 36
ἡλικίᾳ ὢν, οὕτως ἐντυγχάνῃ τοῖς ὑμετέροις παισίν ἀναγνώσεται οὖν ὑμῖν τούτους τοὺς νόμους ὁ γραμματεὺς, ἵν᾽ εἰδῆτε, ὅτι ὁ νομοθέτης ἡγήσατο τὸν καλῶς τραφέντα παῖδα ἄνδρα γενόμενον χρήσιμον ἔσεσθαι τῇ πόλει· ὅταν δ᾽ ἡ φύσις τοῦ ἀνθρώπου εὐθὺς πονηρὰν ἀρχὴν λάβῃ τῆς παιδείας, ἐκ τῶν κακῶς τεθραμμένων παίδων παραπλησίους ἡγήσατο πολίτας ἔσεσθαι Τιμάρχῳ τουτῳί. λέγε δ᾽ αὐτοῖς τοὺς νόμους τούτους.

ΝΟΜΟΙ.

12 *[Οἱ δὲ τῶν παίδων διδάσκαλοι ἀνοιγέτωσαν μὲν τὰ δι-* 37
δασκαλεῖα μὴ πρότερον ἡλίου ἀνιόντος, κλειέτωσαν δὲ
πρὸ ἡλίου δύνοντος. καὶ μὴ ἐξέστω τοῖς ὑπὲρ τὴν τῶν παί- 38
δων ἡλικίαν οὖσιν εἰσιέναι τῶν παίδων ἔνδον ὄντων, ἐὰν μὴ υἱὸς διδασκάλου ἢ ἀδελφὸς ἢ θυγατρὸς ἀνήρ· ἐὰν δέ τις παρὰ ταῦτ᾽ εἰσίῃ, θανάτῳ ζημιούσθω. καὶ οἱ γυμνασιάρχαι τοῖς Ἑρμαίοις μὴ ἐάτωσαν συγκαθιέναι μηδένα τῶν ἐν ἡλικίᾳ τρόπῳ μηδενί· ἐὰν δὲ ἐπιτρέπῃ καὶ 39
μὴ ἐξείργῃ τοῦ γυμνασίου, ἔνοχος ἔστω ὁ γυμνασιάρχης τῷ τῆς ἐλευθέρων φθορᾶς νόμῳ. οἱ δὲ χορηγοὶ οἱ καθι-

στάμενοι ὑπὸ τοῦ δήμου ἔστωσαν τὴν ἡλικίαν ὑπὲρ τετ-
ταράκοντα ἔτη.]

Μετὰ ταῦτα τοίνυν, ὦ Ἀθηναῖοι, νομοθετεῖ περὶ 13
ἀδικημάτων μεγάλων μέν, γιγνομένων δ' οἶμαι ἐν τῇ
πόλει· ἐκ γὰρ τοῦ πράττεσθαί τινα ὧν οὐ προσῆκεν,
ἐκ τούτου τοὺς νόμους ἔθηκαν οἱ παλαιοί. διαρρήδην
γοῦν λέγει ὁ νόμος, ἐάν τινα ἐκμισθώσῃ ἑταιρεῖν πα-
τὴρ ἢ ἀδελφὸς ἢ θεῖος ἢ ἐπίτροπος ἢ ὅλως τῶν κυρίων
τις, κατ' αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾷ γραφὰς ἑταιρή-
40 σεως εἶναι, κατὰ δὲ τοῦ μισθώσαντος καὶ τοῦ μισθω-
σαμένου, τοῦ μὲν ὅτι ἐξεμίσθωσε, τοῦ δὲ ὅτι, φησίν,
ἐμισθώσατο. καὶ ἴσα τὰ ἐπιτίμια ἑκατέρῳ πεποίηκε,
καὶ μὴ ἐπάναγκες εἶναι τῷ παιδὶ ἡβήσαντι τρέφειν
τὸν πατέρα μηδὲ οἴκησιν παρέχειν, ὃς ἂν ἐκμισθωθῇ
ἑταιρεῖν· ἀποθανόντα δὲ αὐτὸν θαπτέτω καὶ τἆλλα
ποιείτω τὰ νομιζόμενα. σκέψασθε δή, ὡς καλῶς, ὦ 14
Ἀθηναῖοι, ζῶντος μὲν αὐτοῦ ἀφαιρεῖται τὴν ὄνησιν
τῆς παιδοποιίας, ὥσπερ ἐκεῖνος τοῦ παιδὸς τὴν παρ-
ρησίαν, τελευτήσαντα δὲ αὐτόν, ἡνίκα ὁ μὲν εὐεργε-
τούμενος οὐκ αἰσθάνεται ὧν εὖ πάσχει, τιμᾶται δὲ ὁ
νόμος καὶ τὸ θεῖον, θάπτειν ἤδη κελεύει καὶ τἆλλα
ποιεῖν τὰ νομιζόμενα. καὶ τίνα ἕτερον νόμον ἔθηκε
φύλακα τῶν ὑμετέρων παίδων; τὸν τῆς προαγωγείας,
τὰ μέγιστα ἐπιτίμια ἐπιγράψας, ἐάν τις ἐλεύθερον
41 παῖδα ἢ γυναῖκα προαγωγεύῃ. καὶ ποῖον ἄλλον; τὸν 15
τῆς ὕβρεως, ὃς ἑνὶ κεφαλαίῳ ἅπαντα τὰ τοιαῦτα συλ-
λαβὼν ἔχει· ἐν ᾧ διαρρήδην γέγραπται, ἐάν τις ὑβρίζῃ
εἰς παῖδα (ὑβρίζει δὲ δή που ὁ μισθούμενος) ἢ ἄνδρα
ἢ γυναῖκα, ἢ τῶν ἐλευθέρων τινὰ ἢ τῶν δούλων, ἢ
ἐὰν παράνομόν τι ποιῇ εἰς τούτων τινά, γραφὰς ὕβρε-
ως εἶναι πεποίηκεν καὶ τίμημα ἐπέθηκεν, ὅ τι χρὴ πα-
θεῖν ἢ ἀποτῖσαι. λέγε τὸν νόμον.

ΝΟΜΟΣ.

16 [Ἄν τις Ἀθηναίων ἐλεύθερον παῖδα ὑβρίσῃ, γραφέσθω ὁ κύριος τοῦ παιδὸς πρὸς τοὺς θεσμοθέτας, τίμημα ἐπιγραψάμενος. οὗ ἂν τὸ δικαστήριον καταψηφίσηται, πα- 42
ραδοθεὶς τοῖς ἕνδεκα τεθνάτω αὐθημερόν. ἐὰν δὲ εἰς ἀργύριον καταψηφισθῇ, ἀποτισάτω ἐν ἕνδεκα ἡμέραις μετὰ τὴν δίκην, ἐὰν μὴ παραχρῆμα δύνηται ἀποτίνειν· ἕως δὲ τοῦ ἀποτῖσαι εἰρχθήτω. ἔνοχοι δὲ ἔστωσαν ταῖσδε ταῖς αἰτίαις καὶ οἱ εἰς τὰ οἰκετικὰ σώματα ἐξαμαρτάνοντες.]

17 Ἴσως ἂν οὖν τις θαυμάσειεν ἐξαίφνης ἀκούσας, τί δή ποτ' ἐν τῷ νόμῳ τῷ τῆς ὕβρεως προσεγράφη 43
τοῦτο τὸ ῥῆμα, τὸ τῶν δούλων. τοῦτο δὲ ἐὰν σκοπῆτε, ὦ Ἀθηναῖοι, εὑρήσετε, ὅτι τοῦτο πάντων ἄριστα ἔχει· οὐ γὰρ περὶ τῶν οἰκετῶν ἐσπούδασεν ὁ νομοθέτης, ἀλλὰ βουλόμενος ὑμᾶς ἐθίσαι πολὺ ἀπέχειν τῆς τῶν ἐλευθέρων ὕβρεως προσέγραψε μηδ' εἰς τοὺς δούλους ὑβρίζειν. ὅλως δὲ ἐν τῇ δημοκρατίᾳ τὸν εἰς ὁτιοῦν ὑβριστὴν, τοῦτον οὐκ ἐπιτήδειον εἶναι ἡγήσατο συμπολι-
18 τεύεσθαι. κἀκεῖνο δέ μοι συνδιαμνημονεύσατε, ὦ Ἀθηναῖοι, ὅτι ἐνταῦθ' ὁ νομοθέτης οὔπω διαλέγεται αὐτῷ τῷ σώματι τοῦ παιδὸς, ἀλλὰ τοῖς περὶ τὸν παῖδα, πατρὶ, ἀδελφῷ, ἐπιτρόπῳ, διδασκάλοις καὶ ὅλως τοῖς κυρίοις· ἐπειδὰν δ' ἐγγραφῇ εἰς τὸ ληξιαρχικὸν γραμ- 44
ματεῖον καὶ τοὺς νόμους γνῷ καὶ εἰδῇ τοὺς τῆς πόλεως καὶ ἤδη δύνηται διαλογίζεσθαι τὰ καλὰ καὶ τὰ μὴ,
19 οὐκέτι ἑτέρῳ διαλέγεται, ἀλλ' ἤδη αὐτῷ. καὶ πῶς λέγει; ἄν τις Ἀθηναίων, φησὶν, ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι, ὅτι οἶμαι στεφανηφόρος ἡ ἀρχὴ, μηδ' ἱερωσύνην ἱεράσασθαι, ὡς οὐδὲ καθαρῷ διαλέγεται τῷ σώματι, μηδὲ συνδικῆσαι, φησὶ, 45
τῷ δημοσίῳ· μηδὲ ἀρξάτω ἀρχὴν μηδεμίαν μηδέποτε, μήτ' ἔνδημον μήτε ὑπερόριον, μήτε κληρωτὴν μήτε

τοῦ τραγῳδοποιοῦ τριταγωνιστὴν γενέσθαι τὸν Αἰσχίνην, καὶ ὑποκρινόμενον Οἰνόμαον διώκοντα Πέλοπα αἰσχρῶς πε-
12 σεῖν, καὶ ἀναστῆναι ὑπὸ Σαννίωνος τοῦ χοροδιδασκάλου (ἐνθένδ' οὖν ὁ Δημοσθένης Οἰνόμαον αὐτὸν ὀνομάζει, πρὸς εἰδότας τὸ πρᾶγμα ἐπισκώπτων), καὶ μετὰ Σωκράτους καὶ Σιμύλου τῶν κακῶν ὑποκριτῶν ἀλᾶσθαι κατ' ἀγρούς· εἴη ἂν οὖν ἐνθένδε ἀρουραῖος λεγόμενος. ἦν δὲ τῶν δήμων Αἰσχίνης Κοθωκίδης.

ΑΠΟΛΛΩΝΙΟΥ ΠΕΡΙ ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ.

Αἰσχίνης ὁ ῥήτωρ τὸ μὲν γένος ἦν Ἀθηναῖος, τῶν δήμων Κοθωκίδης, υἱὸς δὲ Ἀτρομήτου, ὅν φασι πρότερον Τρόμητα καλούμενον ὕστερον συλλαβῆς προσθέσει ἀντὶ Τρόμητος Ἀτρόμητον προσαγορευθῆναι, γεγονέναι δὲ τὸ κατ' ἀρχὰς
13 δοῦλον καὶ πέδας ἔχοντα διδάσκειν γράμματα πρὸς τῷ Θησείῳ καὶ τῷ τοῦ Ἰατροῦ ἡρῴῳ, εἶτα ὕστερον εἰς τὴν πολιτείαν ἐγγραφῆναι διὰ κακουργίας. μητρὸς δὲ ἦν ὁ Αἰσχίνης Γλαυκοθέας ἤ, ὥς ἔνιοι, Γλαυκίδος, ἥν φασι τὴν πρώτην ἡλικίαν ἡταιρηκέναι καθεζομένην ἐν οἰκήματι πρὸς τῷ τοῦ Καλαμίτου ἡρῴῳ, ἔπειτα ὕστερον ἀναστᾶσαν ἀπὸ τῆς ἐργασίας ταύτης ἐπὶ τὸ τελεῖν καὶ καθαίρειν τοὺς βουλομένους ἀποκλῖναι. γεγονὼς δ' ἐκ τούτων ὁ Αἰσχίνης, καὶ ἀδελφῶν αὐτῷ δύο γενομένων, Ἀφοβήτου καὶ Φιλοχάρους τοῦ τὰς ἀλαβαστοθήκας καὶ τὰ τύμπανα γράφοντος, παῖς μὲν ὢν τῷ πατρὶ ὑπηρέτει γράμματα διδάσκοντι, ἀνὴρ δὲ γενόμενος τὸ μὲν πρῶτον ὑπεγραμμάτευσε ταῖς ἀρχαῖς χρόνον τινὰ σὺν τῷ ἀδελφῷ Ἀφοβήτῳ· ἦν δὲ ἐπονείδιστον τοῦτο τὸ ἔργον· ἔπειτα ἀποστὰς τούτου τριταγωνιστὴς ἐγένετο τραγῳδιῶν, καὶ ἐν Κολ-
14 λυτῷ ποτε Οἰνόμαον ὑποκρινόμενος κατέπεσε. μετὰ ταῦτα δὲ προκόπτων τῇ ἡλικίᾳ ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἀπέκλινε. καὶ δοκεῖ τὴν ὑπὲρ Φιλίππου καὶ Ἀλεξάνδρου πολιτείαν ἐπανελέσθαι, κοινωσάμενος Φιλοκράτει τὰ πράγματα, καὶ πρὸς τὴν ἐκείνων χάριν καὶ κολακείαν ἄρασθαι πολιτείαν πρὸς τοὺς περὶ Δημοσθένην, τοὺς τἀναντία τοῖς Φιλίππου πράγμασι καὶ Ἀλεξάνδρου πολιτευσαμένους. ὅτι δὲ πρὸς χάριν ἐπολιτεύσατο τοῖς βασιλεῦσιν, ἄλλα τε πολλὰ μαρτύριά ἐστι καὶ δὴ πάντων ἐκεῖνο ἐναργέστατον·

ἑλομένου γάρ ποτε αὐτὸν τοῦ δήμου σύνδικον ὑπὲρ τοῦ ἐν Δήλῳ ἱεροῦ πρὸς τὴν γενομένην πρὸς Δηλίους Ἀθηναίων διαδικασίαν, οὐκ ἐπέτρεπεν ἡ ἐν Ἀρείῳ πάγῳ βουλή, ἀλλ' ἀπελάσασα αὐτὸν ὡς οὐκ ὄντα εὔνουν τῷ δήμῳ τῷ Ἀθηναίων Ὑπερείδῃ λέγειν προσέταξε. φασὶ μέντοι τινὲς αὐτὸν ἀκουστὴν γενέσθαι Πλάτωνός τε καὶ Σωκράτους, ψευδόμενοι. ην δὲ καὶ ἕτερος ῥήτωρ Αἰσχίνης Ἐλευ- 15
σίνιος, ὃς καὶ τέχνας λέγεται ῥητορικὰς γεγραφέναι. λέγεται δὲ ὁ Αἰσχίνης ἐρωτικὸς γεγονέναι. αὐτὸς δὲ ὁ Αἰσχίνης περὶ τοῦ γένους αὐτοῦ ἐν τῷ παραπρεσβείας φησίν, ὡς ὁ πατὴρ αὐτοῦ Ἀτρόμητος φατρίας μὲν ἦν καὶ γένους τοῦ Ἐτεοβουταδῶν, ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια, νέος δ' ὢν ἤθλει, καὶ χρόνῳ ὕστερον τὴν οὐσίαν ἀπολέσας ἐν τῷ πολέμῳ ἐξέπεσεν ὑπὸ τῶν τριάκοντα, καὶ στρατευόμενος ἐν Ἀσίᾳ ἀριστείων ἠξιώθη, καὶ ἐν Κορίνθῳ μετὰ τὴν ἔκπτωσιν διατρίψας συγκατήγαγε τὸν δῆμον· βιῶσαι δ' ἀναμαρτήτως, εἶναι δ' αὐτὸν ἐτῶν ἐνενήκοντα τεσσάρων. φησὶ δὲ καὶ τοὺς πρὸς μητρὸς αὐτῷ προσήκοντας ἐλευθέρους εἶναι. τῶν δὲ ἀδελφῶν αὐτοῦ Φιλοχάρη μὲν ἐν γυμνασίοις διατρίβειν καὶ μετ' Ἰφικράτους ἐστρα-
τεῦσθαι καὶ συνεχῶς στρατηγεῖν, Ἀφόβητον δὲ τὸν νεώτα- 16
τον αὐτῶν ἀδελφὸν πεπρεσβευκέναι μὲν ὡς βασιλέα ἀξίως τῆς πόλεως, ἐπὶ δὲ τῆς διοικήσεως γενόμενον καλῶς τῶν δημοσίων προσόδων ἐπιμεληθῆναι. περὶ δὲ ἑαυτοῦ φησιν, ὡς ἐκ παίδων ἀπαλλαγεὶς περίπολος τῆς Ἀττικῆς χώρας ἐγένετο δύο ἔτη, ἔφηβος ὤν· οὗτοι γὰρ μεθ' ὅπλων τὴν χώραν περιήρχοντο κατὰ πρόσταγμα νόμου· ἐστρατεύσατο δὲ πρώτην στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετ' Ἀλκιβιάδου καὶ τῶν ξένων τὴν εἰς Φλιοῦντα πομπήν, κινδύνου δὲ γενομένου περὶ τὴν καλουμένην Νεμεάδα χαράδραν ἀξιεπαίνως ἐμαχέσατο, καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους πάσας ἐξῆλθε, καὶ ἐν Μαντινείᾳ γενναίως ἐμαχέσατο, καὶ τὴν ἐν Ταμύναις μάχην ἐν τοῖς ἐπιλέκτοις, εἶτ' ἐστεφανώθη μαχόμενος. ἐτελεύτησε δ' Αἰσχίνης ἀναιρεθεὶς ὑπὸ Ἀντιπάτρου καταλυθείσης τῆς πολιτείας, ὅτε καὶ οἱ περὶ Δημοσθένην ἐξεδόθησαν, βεβιωκὼς ἔτη οε΄. τριῶν δὲ ὄντων λόγων τῶν

ὑπ' αὐτοῦ γεγραμμένων, καὶ τούτων δημοσίων, ὁ γὰρ Δηλιακὸς νόθος ἐστὶ, τὸν μὲν κατὰ Κτησιφῶντος εὑρίσκομεν τελευταῖον γεγραμμένον· ἐπὶ γὰρ τῶν Ἀλεξάνδρου χρόνων γέγραπται· τῶν δὲ λοιπῶν περὶ τοὺς αὐτοὺς ὄντων χρόνους πρότερός ἐστι τῇ τάξει ὁ κατὰ Τιμάρχου· ἐν γὰρ τῷ μετ' αὐτὸν, τῷ περὶ τῆς παραπρεσβείας, μέμνηται ὁ Αἰσχίνης τούτου τοῦ λόγου.

1.

ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἀθηναῖοι πολεμήσαντες πρὸς Φίλιππον τὸν Ὀλυνθια- 17
κὸν πόλεμον ὕστερον δόξαν αὐτοῖς εἰρήνην ἐποιήσαντο πρὸς
Φίλιππον, καὶ συμμαχίαν αὐτῷ καὶ τοῖς ἐγγόνοις ψηφισά-
μενοι ἔπεμψαν πρὸς αὐτὸν δέκα πρέσβεις τοὺς ἀποληψομέ-
νους παρ' αὐτοῦ τοὺς ὅρκους, ἐν οἷς ἦσαν Δημοσθένης τε
καὶ Αἰσχίνης. ἐπανηκούσης δὲ τῆς πρεσβείας γράφονται πα-
ραπρεσβείας Αἰσχίνην Δημοσθένης τε ὁ ῥήτωρ καὶ Τίμαρχος
Ἀριζήλου Σφήττιος, διάσημος ὢν ἐν τῇ πολιτείᾳ καὶ δημη-
γορῶν καὶ πλέον ἢ ἑκατὸν ψηφίσματα γεγραφώς. ἐτύγχανε
δὲ νεωστὶ γεγραφὼς ψήφισμα βουλεύων, τὸν ἐκφέροντα ὅπλα
πρὸς Φίλιππον θανάτῳ ζημιοῦσθαι. ἀποτεθείσης οὖν τῆς 18
γραφῆς, πρὶν τὸν ἀγῶνα εἰσελθεῖν, ἐγράψατο Αἰσχίνης τὸν
Τίμαρχον ὡς δημηγοροῦντα παρὰ τοὺς νόμους· οὐκ ἐξεῖναι
γὰρ αὐτῷ δημηγορεῖν ἡταιρηκότι. ἔνιοι μὲν οὖν φασιν, ὡς
ἀπήγξατο ὁ Τίμαρχος τὴν κρίσιν οὐχ ὑπομείνας· οἱ δὲ, ὅτι
ἁλοὺς ἠτιμώθη, ὡς Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρε-
σβείας. οὕτω δὲ περιβόητον τὸ πρᾶγμα ἐγένετο, ὥστε ἀπὸ
τῆς κρίσεως ταύτης τοὺς πόρνους τὸ λοιπὸν ἐκάλουν Τι-
μάρχους. τὸ δὲ προοίμιόν ἐστι τραγικώτερον· ἐν αὐτῷ δὲ
συστήσας ἑαυτὸν μέτριον, ἵνα εὔνοιαν ἐπισπάσηται, καὶ τὸν 19
Τίμαρχον διαβαλὼν καὶ περὶ τῆς πολιτείας εἰπὼν μεταβαί-
νει ἐπὶ κεφάλαια οὐ τῆς ὑποθέσεως ἴδια, ἀλλὰ κοινὰ κατὰ
πάντων τῶν ἑταιρήσεως κρινομένων. ἔστι δὲ τάδε· εἰ καλῶς
καὶ ἀκριβῶς τοὺς νόμους ἔθεντο οἱ παλαιοὶ τοὺς περὶ τῆς
τῶν παίδων εὐκοσμίας καὶ μειρακίων καὶ τῶν ἄλλων ἡλι-
κιῶν· εἰ ὀρθῶς ἀπεῖπον τοῖς ἡταιρηκόσι μὴ δημηγορεῖν,

καὶ ἑξῆς, εἰ παρὰ τοὺς νόμους δημηγορεῖ Τίμαρχος ἡταιρηκώς, ἐν ᾧ, εἰ ἔνοχος τῇ γραφῇ ἑταιρήσας· εἰ παρὰ Μισγόλᾳ ἡταίρησε μισθοῦ περὶ τὰ τοιαῦτα ὄντι δεινῷ· εἰ παρὰ Ἀντικλεῖ· εἰ ἐν τῷ κυβευτηρίῳ διατρίβων καὶ κυβεύων ἀνελήφθη ὑπὸ Πιτταλάκου, δημοσίου δούλου τῆς πόλεως, καὶ παρ' αὐτῷ διέτριψεν ἑταιρῶν· εἰ παρὰ Ἡγησάνδρῳ τῷ Τιμομάχου ταμίᾳ διέτριψε χρόνον ἑταιρῶν.

ΑΛΛΩΣ.

Τοῦτον τὸν λόγον ὁ Αἰσχίνης γέγραφε δοκιμασίαν κατὰ Τιμάρχου. ἦν δὲ ὁ Τίμαρχος τῶν ἐπὶ τὸ βῆμα προσιόντων, καὶ αὐτὸν τὸν Αἰσχίνην σεσυκοφαντηκώς. νόμοι δέ εἰσι περὶ τῶν ῥητόρων κείμενοι, οὕστινας χρὴ εἴργεσθαι τοῦ λέγειν, οἷον τοὺς τὰ πατρῷα κατεδηδοκότας, τοὺς ἡταιρηκότας· εἰ δὲ μὴ πείθοιντο, ἐξεῖναι τὸν βουλόμενον αὐτοῖς δοκιμασίαν ἐπαγγεῖλαι, ὥστε δοκιμάζεσθαι, εἰ ἐπιτήδειοί εἰσι λέγειν. δύο δὲ ἐγκαλῶν Τιμάρχῳ Αἰσχίνης, καὶ ὅτι ἡταίρηκε καὶ ὅτι τὰ πατρῷα κατεδήδοκε, περὶ ἑταιρήσεως ἐπιγράφεται ὁ λόγος, ὅτι τὸ πλέον τῆς κατηγορίας διὰ ταύτην ἐστί. φαίνεται δὲ νενικηκὼς τὸν ἀγῶνα, ὥς φασιν οἱ παλαιοί. δοκοῦσι δέ μοι οἱ λόγοι μετὰ τὰς δίκας γράφεσθαι.

---

27 *Οὐδένα πώποτε τῶν πολιτῶν, ὦ Ἀθηναῖοι, οὔτε γραφὴν γραψάμενος οὔτ' ἐν εὐθύναις λυπήσας, ἀλλ' ὡς ἔγωγε νομίζω, μέτριον ἐμαυτὸν πρὸς ἕκαστα τούτων παρεσχηκώς, ὁρῶν δὲ τὴν πόλιν μεγάλα βλαπτομένην ὑπὸ Τιμάρχου τουτουὶ δημηγοροῦντος παρὰ τοὺς νόμους καὶ αὐτὸς ἰδίᾳ συκοφαντούμενος (ὃν δὲ τρόπον, ἐπιδείξω προϊόντος τοῦ λόγου) ἕν τι τῶν αἰσχίστων* 2
ἡγησάμην εἶναι μὴ βοηθῆσαι τῇ τε πόλει πάσῃ καὶ τοῖς νόμοις καὶ ὑμῖν καὶ ἐμαυτῷ· εἰδὼς δ' αὐτὸν ἔνοχον ὄντα οἷς ὀλίγῳ πρότερον ἠκούσατε ἀναγιγνώσκοντος
28 *τοῦ γραμματέως, ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν ταυτηνί. καὶ ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, οἱ εἰωθότες λόγοι*

λέγεσθαι ἐπὶ τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶ ψευδεῖς·
αἱ γὰρ ἴδιαι ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορ-
3 θοῦσι. τοῦ μὲν οὖν ὅλου ἀγῶνος φανήσεται οὔθ' ἡ
πόλις αἰτία οὖσα Τιμάρχῳ οὔθ' οἱ νόμοι οὔθ' ὑμεῖς
οὔτ' ἐγὼ, ἀλλ' αὐτὸς οὗτος αὑτῷ. οἱ μὲν γὰρ νόμοι
προεῖπον αὐτῷ αἰσχρῶς βεβιωκότι μὴ δημηγορεῖν, ἐπί- 29
ταγμα, ὥς γε δὴ ἐγὼ κρίνω, οὐ χαλεπὸν ἐπιτάξαντες,
ἀλλὰ καὶ πάνυ ῥᾴδιον· ἐμὲ δ' ἐξῆν αὐτῷ, εἰ ἐσωφρό-
νει, μὴ συκοφαντεῖν. περὶ μὲν οὖν τούτων μετρίως
ἐλπίζω μοι προειρῆσθαι.

4 Οὐκ ἀγνοῶ δὲ, ὅτι ἃ μέλλω ἐν πρώτοις λέγειν φα-
νεῖσθε καὶ ἑτέρων ἤδη πρότερον ἀκηκοότες· ἀλλά μοι
δοκεῖ καιρὸς εἶναι καὶ ἐμὲ νῦν πρὸς ὑμᾶς τῷ αὐτῷ λό-
γῳ τούτῳ χρήσασθαι. ὁμολογοῦνται γὰρ τρεῖς εἶναι
πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς καὶ ὀλιγαρ-
χία καὶ δημοκρατία· διοικοῦνται δ' αἱ μὲν τυραννίδες
καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ
πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις.
5 εὖ δ' ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τὰ μὲν τῶν δημοκρατου- 30
μένων σώματα καὶ τὴν πολιτείαν οἱ νόμοι σώζουσι, τὰ
δὲ τῶν τυράννων καὶ ὀλιγαρχιῶν ἀπιστία καὶ ἡ μετὰ
τῶν ὅπλων φρουρά. φυλακτέον δὴ τοῖς μὲν ὀλιγαρχι-
κοῖς καὶ τοῖς τὴν ἄνισον πολιτείαν πολιτευομένοις τοὺς
ἐν χειρῶν νόμῳ τὰς πολιτείας καταλύοντας, ὑμῖν δὲ 31
τοῖς τὴν ἴσην καὶ ἔννομον πολιτείαν ἔχουσι τοὺς παρὰ
τοὺς νόμους ἢ λέγοντας ἢ βεβιωκότας κολάζειν· ἐν-
τεῦθεν γὰρ ἰσχύσετε, ὅταν εὐνομῆσθε καὶ μὴ καταλύ- 32
ησθε ὑπὸ τῶν παρανομούντων καὶ ἀσελγῶς βιούν-
6 των. προσήκειν δὲ ἔγωγε νομίζω, ὅταν μὲν νομοθε-
τῶμεν, τοῦθ' ἡμᾶς σκοπεῖν, ὅπως καλῶς ἔχοντας καὶ
συμφέροντας νόμους τῇ πολιτείᾳ θησόμεθα, ἐπειδὰν
δὲ νομοθετήσωμεν, τοῖς νόμοις τοῖς κειμένοις πείθε-

σθαι, τοὺς δὲ μὴ πειθομένους κολάζειν, εἰ δεῖ τὰ τῆς πόλεως καλῶς ἔχειν. σκέψασθε γάρ, ὦ Ἀθηναῖοι, ὅσην πρόνοιαν περὶ σωφροσύνης ἐποιήσατο ὁ Σόλων ἐκεῖνος, ὁ παλαιὸς νομοθέτης, καὶ ὁ Δράκων καὶ οἱ κατὰ τοὺς χρόνους ἐκείνους νομοθέται. πρῶτον μὲν γὰρ ἐνομοθέτησαν περὶ τῆς σωφροσύνης τῶν παίδων τῶν
33 ἡμετέρων, καὶ διαρρήδην ἀπέδειξαν ἃ χρὴ τὸν παῖδα τὸν ἐλεύθερον ἐπιτηδεύειν καὶ ὡς δεῖ αὐτὸν τραφῆναι, ἔπειτα δεύτερον περὶ τῶν μειρακίων, τρίτον δ' ἐφεξῆς περὶ τῶν ἄλλων ἡλικιῶν, οὐ μόνον περὶ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ περὶ τῶν ῥητόρων. καὶ τούτους τοὺς νόμους ἀναγράψαντες ὑμῖν παρακατέθεντο, καὶ ὑμᾶς αὐτῶν ἐπέστησαν φύλακας. βούλομαι δὴ καὶ ἐγὼ νυνὶ πρὸς ὑμᾶς τὸν αὐτὸν τρόπον χρήσασθαι τῷ λόγῳ, ὅνπερ τοῖς νόμοις ὁ νομοθέτης. πρῶτον μὲν γὰρ διέξειμι πρὸς ὑμᾶς τοὺς νόμους, οἳ κεῖνται περὶ τῆς εὐκοσμίας τῶν παίδων τῶν ἡμετέρων, ἔπειτα δεύτερον τοὺς περὶ τῶν μειρακίων, τρίτον δ' ἐφεξῆς τοὺς περὶ τῶν ἄλλων ἡλικιῶν. οὕτω γὰρ ἄν μοι μάλιστα ὑπολαμβάνω τοὺς λόγους εὐμαθεῖς γενέσθαι. ἅμα δὲ καὶ βούλομαι, ὦ Ἀθηναῖοι, προδιεξελθεῖν πρῶτον πρὸς ὑμᾶς, ὡς ἔχου-
34 σιν οἱ νόμοι περὶ τῆς πόλεως, πάλιν δὲ μετὰ τοῦτο ἀντεξετάσαι τοὺς τρόπους τοὺς Τιμάρχου· εὑρήσετε γὰρ αὐτὸν ἐναντίως ἅπασι τοῖς νόμοις βεβιωκότα.

Ὁ γὰρ νομοθέτης πρῶτον μὲν τοῖς διδασκάλοις, οἷς ἐξ ἀνάγκης παρακατατιθέμεθα τοὺς ἡμετέρους αὐτῶν παῖδας, οἷς ἐστιν ὁ μὲν βίος ἀπὸ τοῦ σωφρονεῖν, ἡ δ' ἀπορία ἐκ τῶν ἐναντίων, ὅμως ἀπιστῶν φαίνεται, καὶ διαρρήδην ἀποδείκνυσι πρῶτον μὲν ἣν ὥραν προσήκει ἰέναι τὸν παῖδα τὸν ἐλεύθερον εἰς τὸ διδασκαλεῖον, ἔπειτα μετὰ πόσων παίδων εἰσιέναι καὶ πηνίκα ἀπιέναι, καὶ τοὺς διδασκάλους τὰ διδασκαλεῖα καὶ τοὺς

παιδοτρίβας τὰς παλαίστρας ἀνοίγειν μὲν ἀπαγορεύει 35
μὴ πρότερον, πρὶν ἂν ὁ ἥλιος ἀνίσχῃ, κλῄειν δὲ προστάττει πρὸ ἡλίου δεδυκότος, τὰς ἐρημίας καὶ τὸ σκότος ἐν πλείστῃ ὑποψίᾳ ποιούμενος· καὶ τοὺς νεανίσκους τοὺς εἰσφοιτῶντας οὕστινας δεῖ εἶναι καὶ ἅστινας ἡλικίας ἔχοντας, καὶ ἀρχὴν ἥτις ἔσται ἡ τούτων ἐπιμελησομένη, καὶ περὶ παιδαγωγῶν ἐπιμελείας καὶ περὶ Μουσείων ἐν τοῖς διδασκαλείοις καὶ περὶ Ἑρμαίων ἐν ταῖς παλαίστραις, καὶ τὸ τελευταῖον περὶ τῆς συμφοιτήσεως τῶν παίδων καὶ τῶν χορῶν τῶν ἐγκυκλίων.
11 κελεύει γὰρ τὸν χορηγὸν τὸν μέλλοντα τὴν οὐσίαν τὴν ἑαυτοῦ ἀναλίσκειν ὑπὲρ τετταράκοντα ἔτη γεγονότα τοῦτο πράττειν, ἵν' ἤδη ἐν τῇ σωφρονεστάτῃ αὑτοῦ 36
ἡλικίᾳ ὢν, οὕτως ἐντυγχάνῃ τοῖς ὑμετέροις παισίν. ἀναγνώσεται οὖν ὑμῖν τούτους τοὺς νόμους ὁ γραμματεὺς, ἵν' εἰδῆτε, ὅτι ὁ νομοθέτης ἡγήσατο τὸν καλῶς τραφέντα παῖδα ἄνδρα γενόμενον χρήσιμον ἔσεσθαι τῇ πόλει· ὅταν δ' ἡ φύσις τοῦ ἀνθρώπου εὐθὺς πονηρὰν ἀρχὴν λάβῃ τῆς παιδείας, ἐκ τῶν κακῶς τεθραμμένων παίδων παραπλησίους ἡγήσατο πολίτας ἔσεσθαι Τιμάρχῳ τουτῳί. λέγε δ' αὐτοῖς τοὺς νόμους τούτους.

ΝΟΜΟΙ.

12 [*Οἱ δὲ τῶν παίδων διδάσκαλοι ἀνοιγέτωσαν μὲν τὰ δι-* 37
δασκαλεῖα μὴ πρότερον ἡλίου ἀνιόντος, κλειέτωσαν δὲ πρὸ ἡλίου δύνοντος. καὶ μὴ ἐξέστω τοῖς ὑπὲρ τὴν τῶν παί- 38
δων ἡλικίαν οὖσιν εἰσιέναι τῶν παίδων ἔνδον ὄντων, ἐὰν μὴ υἱὸς διδασκάλου ἢ ἀδελφὸς ἢ θυγατρὸς ἀνήρ· ἐὰν δέ τις παρὰ ταῦτ' εἰσίῃ, θανάτῳ ζημιούσθω. καὶ οἱ γυμνασιάρχαι τοῖς Ἑρμαίοις μὴ ἐάτωσαν συγκαθιέναι μη δένα τῶν ἐν ἡλικίᾳ τρόπῳ μηδενί· ἐὰν δὲ ἐπιτρέπῃ καὶ 39
μὴ ἐξείργῃ τοῦ γυμνασίου, ἔνοχος ἔστω ὁ γυμνασιάρχης τῷ τῆς ἐλευθέρων φθορᾶς νόμῳ. οἱ δὲ χορηγοὶ οἱ καθι-

στάμενοι ὑπὸ τοῦ δήμου ἔστωσαν τὴν ἡλικίαν ὑπὲρ τετταράκοντα ἔτη.]

Μετὰ ταῦτα τοίνυν, ὦ Ἀθηναῖοι, νομοθετεῖ περὶ 13
ἀδικημάτων μεγάλων μέν, γιγνομένων δ' οἶμαι ἐν τῇ πόλει· ἐκ γὰρ τοῦ πράττεσθαί τινα ὧν οὐ προσῆκεν, ἐκ τούτου τοὺς νόμους ἔθηκαν οἱ παλαιοί. διαρρήδην γοῦν λέγει ὁ νόμος, ἐάν τινα ἐκμισθώσῃ ἑταιρεῖν πατὴρ ἢ ἀδελφὸς ἢ θεῖος ἢ ἐπίτροπος ἢ ὅλως τῶν κυρίων τις, κατ' αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾷ γραφὰς ἑταιρή-
40 *σεως εἶναι, κατὰ δὲ τοῦ μισθώσαντος καὶ τοῦ μισθωσαμένου, τοῦ μὲν ὅτι ἐξεμίσθωσε, τοῦ δὲ ὅτι, φησίν, ἐμισθώσατο. καὶ ἴσα τὰ ἐπιτίμια ἑκατέρῳ πεποίηκε, καὶ μὴ ἐπάναγκες εἶναι τῷ παιδὶ ἡβήσαντι τρέφειν τὸν πατέρα μηδὲ οἴκησιν παρέχειν, ὃς ἂν ἐκμισθωθῇ ἑταιρεῖν· ἀποθανόντα δὲ αὐτὸν θαπτέτω καὶ τἆλλα ποιείτω τὰ νομιζόμενα. σκέψασθε δή, ὡς καλῶς, ὦ* 14
Ἀθηναῖοι, ζῶντος μὲν αὐτοῦ ἀφαιρεῖται τὴν ὄνησιν τῆς παιδοποιίας, ὥσπερ ἐκεῖνος τοῦ παιδὸς τὴν παρρησίαν, τελευτήσαντα δὲ αὐτόν, ἡνίκα ὁ μὲν εὐεργετούμενος οὐκ αἰσθάνεται ὧν εὖ πάσχει, τιμᾶται δὲ ὁ νόμος καὶ τὸ θεῖον, θάπτειν ἤδη κελεύει καὶ τἆλλα ποιεῖν τὰ νομιζόμενα. καὶ τίνα ἕτερον νόμον ἔθηκε φύλακα τῶν ὑμετέρων παίδων; τὸν τῆς προαγωγείας, τὰ μέγιστα ἐπιτίμια ἐπιγράψας, ἐάν τις ἐλεύθερον
41 *παῖδα ἢ γυναῖκα προαγωγεύῃ. καὶ ποῖον ἄλλον; τὸν* 15
τῆς ὕβρεως, ὃς ἑνὶ κεφαλαίῳ ἅπαντα τὰ τοιαῦτα συλλαβὼν ἔχει· ἐν ᾧ διαρρήδην γέγραπται, ἐάν τις ὑβρίζῃ εἰς παῖδα (ὑβρίζει δὲ δή που ὁ μισθούμενος) ἢ ἄνδρα ἢ γυναῖκα, ἢ τῶν ἐλευθέρων τινὰ ἢ τῶν δούλων, ἢ ἐὰν παράνομόν τι ποιῇ εἰς τούτων τινά, γραφὰς ὕβρεως εἶναι πεποίηκεν καὶ τίμημα ἐπέθηκεν, ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι. λέγε τὸν νόμον.

ΝΟΜΟΣ.

16 [*Ἄν τις Ἀθηναίων ἐλεύθερον παῖδα ὑβρίσῃ, γραφέ-
σθω ὁ κύριος τοῦ παιδὸς πρὸς τοὺς θεσμοθέτας, τίμημα
ἐπιγραψάμενος. οὗ ἂν τὸ δικαστήριον καταψηφίσηται, πα-* 42
*ραδοθεὶς τοῖς ἕνδεκα τεθνάτω αὐθημερόν. ἐὰν δὲ εἰς
ἀργύριον καταψηφισθῇ, ἀποτισάτω ἐν ἕνδεκα ἡμέραις
μετὰ τὴν δίκην, ἐὰν μὴ παραχρῆμα δύνηται ἀποτίνειν·
ἕως δὲ τοῦ ἀποτῖσαι εἱρχθήτω. ἔνοχοι δὲ ἔστωσαν ταῖσδε
ταῖς αἰτίαις καὶ οἱ εἰς τὰ οἰκετικὰ σώματα ἐξαμαρτάνοντες.*]

17 *Ἴσως ἂν οὖν τις θαυμάσειεν ἐξαίφνης ἀκούσας,
τί δή ποτ' ἐν τῷ νόμῳ τῷ τῆς ὕβρεως προσεγράφη* 43
*τοῦτο τὸ ῥῆμα, τὸ τῶν δούλων. τοῦτο δὲ ἐὰν σκοπῆτε,
ὦ Ἀθηναῖοι, εὑρήσετε, ὅτι τοῦτο πάντων ἄριστα ἔχει·
οὐ γὰρ περὶ τῶν οἰκετῶν ἐσπούδασεν ὁ νομοθέτης,
ἀλλὰ βουλόμενος ὑμᾶς ἐθίσαι πολὺ ἀπέχειν τῆς τῶν
ἐλευθέρων ὕβρεως προσέγραψε μηδ' εἰς τοὺς δούλους
ὑβρίζειν. ὅλως δὲ ἐν τῇ δημοκρατίᾳ τὸν εἰς ὁτιοῦν ὑβρι-
στὴν, τοῦτον οὐκ ἐπιτήδειον εἶναι ἡγήσατο συμπολι-*
18 *τεύεσθαι. κἀκεῖνο δέ μοι συνδιαμνημονεύσατε, ὦ
Ἀθηναῖοι, ὅτι ἐνταῦθ' ὁ νομοθέτης οὔπω διαλέγεται
αὐτῷ τῷ σώματι τοῦ παιδὸς, ἀλλὰ τοῖς περὶ τὸν παῖδα,
πατρὶ, ἀδελφῷ, ἐπιτρόπῳ, διδασκάλοις καὶ ὅλως τοῖς
κυρίοις· ἐπειδὰν δ' ἐγγραφῇ εἰς τὸ ληξιαρχικὸν γραμ-* 44
*ματεῖον καὶ τοὺς νόμους γνῷ καὶ εἰδῇ τοὺς τῆς πόλεως
καὶ ἤδη δύνηται διαλογίζεσθαι τὰ καλὰ καὶ τὰ μὴ,*
19 *οὐκέτι ἑτέρῳ διαλέγεται, ἀλλ' ἤδη αὐτῷ. καὶ πῶς λέγει;
ἄν τις Ἀθηναίων, φησὶν, ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ
τῶν ἐννέα ἀρχόντων γενέσθαι, ὅτι οἶμαι στεφανηφό-
ρος ἡ ἀρχὴ, μηδ' ἱερωσύνην ἱεράσασθαι, ὡς οὐδὲ κα-
θαρῷ διαλέγεται τῷ σώματι, μηδὲ συνδικῆσαι, φησὶ,* 45
*τῷ δημοσίῳ· μηδὲ ἀρξάτω ἀρχὴν μηδεμίαν μηδέποτε,
μήτ' ἔνδημον μήτε ὑπερόριον, μήτε κληρωτὴν μήτε*

χειροτονητήν· μηδὲ κηρυκευσάτω, μηδὲ πρεσβευσάτω, 20
46 μηδὲ τοὺς πρεσβεύσαντας κρινέτω, μηδὲ μισθωθεὶς
συκοφαντείτω, μηδὲ γνώμην εἰπάτω μηδέποτε μήτε ἐν
τῇ βουλῇ μήτε ἐν τῷ δήμῳ, μηδ' ἂν δεινότατος ᾖ λέ-
γειν. ἐὰν δέ τις παρὰ ταῦτα πράττῃ, γραφὰς ἑταιρή-
σεως πεποίηκε καὶ τὰ μέγιστα ἐπιτίμια ἐπέθηκεν. λέγε
αὐτοῖς καὶ τοῦτον τὸν νόμον, ἵν' εἰδῆτε, οἵων νόμων
ἡμῖν κειμένων, ὡς καλῶν καὶ σωφρόνων, τετόλμηκε
Τίμαρχος δημηγορεῖν ὁ τοιοῦτος τὸν τρόπον οἷον ὑμεῖς
ἐπίστασθε.

ΝΟΜΟΣ.

47 ['Εάν τις 'Αθηναῖος ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν 21
ἐννέα ἀρχόντων γενέσθαι μηδ' ἱεράσασθαι μηδὲ συνδικῆ-
σαι τῷ δήμῳ, μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν, μήτε ἔνδη-
μον μήτε ὑπερόριον, μήτε κληρωτὴν μήτε χειροτονητὴν,
μηδ' ἐπὶ κηρυκείαν ἀποστελλέσθω, μηδὲ γνώμην λεγέτω,
μηδ' εἰς τὰ δημοτελῆ ἱερὰ εἰσίτω, μηδ' ἐν ταῖς κοιναῖς στε-
φανηφορίαις στεφανούσθω, μηδ' ἐντὸς τῆς ἀγορᾶς τῶν
περιρραντηρίων πορευέσθω. ἐὰν δέ τις ταῦτα ποιῇ, κατα-
γνωσθέντος αὐτοῦ ἑταιρεῖν θανάτῳ ζημιούσθω.]

Τοῦτον μέντοι τὸν νόμον ἔθηκε περὶ τῶν μειρα- 22
48 κίων τῶν προχείρως εἰς τὰ ἑαυτῶν σώματα ἐξαμαρτα-
νόντων· οὓς δὲ ὀλίγῳ πρότερον ὑμῖν ἀνέγνω, περὶ
τῶν παίδων· οὓς δὲ νυνὶ μέλλω λέγειν, περὶ τῶν ἄλλων
'Αθηναίων. ἀπαλλαγεὶς γὰρ τῶν νόμων τούτων ἐσκέ-
ψατο, τίνα χρὴ τρόπον συλλεγομένους ἡμᾶς εἰς τὴν
ἐκκλησίαν βουλεύεσθαι περὶ τῶν σπουδαιοτάτων πραγ-
μάτων. καὶ πόθεν ἄρχεται; νόμοι, φησὶ, περὶ εὐκο-
σμίας. ἀπὸ σωφροσύνης πρῶτον ἤρξατο, ὡς, ὅπου
πλείστη εὐκοσμία ἐστὶ, ταύτην ἄριστα τὴν πόλιν οἰκη-
σομένην. καὶ πῶς δὲ κελεύει τοὺς προέδρους χρηματί- 23
ζειν; ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ καὶ ὁ κῆρυξ
τὰς πατρίους εὐχὰς εὔξηται, προχειροτονεῖν κελεύει

τοὺς προέδρους περὶ ἱερῶν τῶν πατρίων καὶ κήρυξι
καὶ πρεσβείαις καὶ ὁσίων, καὶ μετὰ ταῦτα ἐπερωτᾷ ὁ
κῆρυξ „τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα 49
ἔτη γεγονότων;“ ἐπειδὰν δὲ οὗτοι πάντες εἴπωσι, τότ᾽
ἤδη κελεύει λέγειν τῶν ἄλλων Ἀθηναίων τὸν βουλό- 50
24 μενον, οἷς ἔξεστιν. σκέψασθε δή, ὡς καλῶς, ὦ Ἀθη-
ναῖοι. οὐκ ἠγνόει, οἶμαι, ὁ νομοθέτης, ὅτι οἱ πρεσβύ-
τεροι τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη 51
αὐτοὺς ἄρχεται ἐπιλείπειν διὰ τὴν ἐμπειρίαν τῶν
πραγμάτων. βουλόμενος δὴ συνεθίσαι τοὺς ἄριστα
φρονοῦντας, τούτους ἐπάναγκες περὶ τῶν πραγμάτων
λέγειν, ἐπειδὴ ὀνόματι αὐτῶν ἕνα ἕκαστον ἀπορεῖ
προσειπεῖν, τὴν ἐπωνυμίαν τῆς ὅλης ἡλικίας ὑπολα-
βὼν παρακαλεῖ ἐπὶ τὸ βῆμα καὶ προτρέπει δημηγορεῖν.
ἅμα δὲ τοὺς νεωτέρους διδάσκει αἰσχύνεσθαι τοὺς
πρεσβυτέρους καὶ πάνθ᾽ ὑστέρους πράττειν καὶ τιμᾶν
τὸ γῆρας, εἰς ὃ πάντες ἀφιξόμεθα, ἐὰν ἄρα διαγενώ-
25 μεθα. καὶ οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι 52
ῥήτορες, ὁ Περικλῆς καὶ Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης
ὁ τὴν ἀνόμοιον ἐπωνυμίαν ἔχων Τιμάρχῳ τουτῳΐ, ὁ
δίκαιος ἐπικαλούμενος, ὥστε, ὃ νυνὶ πάντες ἐν ἔθει
πράττομεν, τὸ τὴν χεῖρα ἔξω ἔχοντες λέγειν, τότε τοῦτο
θρασύ τι ἐδόκει εἶναι καὶ εὐλαβοῦντο αὐτὸ πράττειν.
μέγα δὲ πάνυ τούτου σημεῖον ἔργῳ ὑμῖν οἶμαι ἐπιδεί-
ξειν· εὖ γὰρ οἶδ᾽ ὅτι πάντες ἐκπεπλεύκατε εἰς Σαλα-
μῖνα καὶ τεθέασθε τὴν Σόλωνος εἰκόνα, καὶ αὐτοὶ
μαρτυρήσαιτ᾽ ἄν, ὅτι ἐν τῇ ἀγορᾷ τῇ Σαλαμινίων ἀνά-
κειται ὁ Σόλων ἐντὸς τὴν χεῖρα ἔχων. τοῦτ᾽ ἔστιν, ὦ 53
Ἀθηναῖοι, ὑπόμνημα καὶ μίμημα τοῦ Σόλωνος σχήμα-
τος, ὃν τρόπον ἔχων αὐτὸς διελέγετο τῷ δήμῳ τῶν
26 Ἀθηναίων. σκέψασθε δέ, ὦ Ἀθηναῖοι, ὅσον διαφέρει
ὁ Σόλων Τιμάρχου καὶ οἱ ἄνδρες ἐκεῖνοι ὧν ὀλίγῳ

πρότερον ἐν τῷ λόγῳ ἐπεμνήσθην. ἐκεῖνοι μέν γε ᾐσχύνοντο ἔξω τὴν χεῖρα ἔχοντες λέγειν, Τίμαρχος δὲ οὑτοσὶ οὐ πάλαι, ἀλλὰ πρῴην ποτὲ ῥίψας θοἰμάτιον γυμνὸς ἐπαγκρατίαζεν ἐν τῇ ἐκκλησίᾳ, οὕτω κακῶς καὶ αἰσχρῶς διακείμενος τὸ σῶμα ὑπὸ μέθης καὶ βδελυρίας, ὥστε τούς γε εὖ φρονοῦντας ἐγκαλύψασθαι,
54 αἰσχυνθέντας ὑπὲρ τῆς πόλεως, εἰ τοιούτοις συμβούλοις χρώμεθα. ἃ συνιδὼν ὁ νομοθέτης διαρρήδην ἀπέ- 27
δειξεν, οὓς χρὴ δημηγορεῖν καὶ οὓς οὐ δεῖ λέγειν ἐν τῷ δήμῳ. καὶ οὐκ ἀπελαύνει ἀπὸ τοῦ βήματος, εἴ τις μὴ προγόνων ἐστὶ τῶν ἐστρατηγηκότων, οὐδέ γε εἰ τέχνην τινὰ ἐργάζεται ἐπικουρῶν τῇ ἀναγκαίᾳ τροφῇ, ἀλλὰ καὶ τούτους καὶ μάλιστα ἀσπάζεται, καὶ διὰ τοῦτο πολλάκις ἐπερωτᾷ, τίς ἀγορεύειν βούλεται. τίνας 28
δ' οὐκ ᾤετο δεῖν λέγειν; τοὺς αἰσχρῶς βεβιωκότας· τούτους οὐκ ἐᾷ δημηγορεῖν. καὶ ποῦ τοῦτο δηλοῖ; δοκιμασία, φησὶ, ῥητόρων· ἐάν τις λέγῃ ἐν τῷ δήμῳ τὸν πατέρα τύπτων ἢ τὴν μητέρα, ἢ μὴ τρέφων, ἢ μὴ παρέχων οἴκησιν· τοῦτον οὐκ ἐᾷ λέγειν. νὴ Δία καλῶς γε, ὥς ἐγώ φημι. διὰ τί; ὅτι, εἴ τις, οὓς ἐξ ἴσου δεῖ τιμᾶν τοῖς θεοῖς, εἰς τούτους ἐστὶ φαῦλος, τί ποτε, φησὶν, ὑπ' αὐτοῦ πείσονται οἱ ἀλλότριοι καὶ ἡ πόλις ὅλη; καὶ τίσι δεύτερον ἀπεῖπε μὴ λέγειν; ἢ τὰς στρατείας, φησὶ, 29
μὴ ἐστρατευμένος, ὅσαι ἂν αὐτῷ προσταχθῶσιν, ἢ τὴν ἀσπίδα ἀποβεβληκὼς, δίκαια λέγων. τί δή ποτε; ἄν-
55 θρωπε, τῇ πόλει, ὑπὲρ ἧς τὰ ὅπλα μὴ τίθεσαι ἢ διὰ δειλίαν μὴ δυνατὸς εἶ ἐπαμῦναι, μηδὲ συμβουλεύειν ἀξίου. τρίτον τίσι διαλέγεται; ἢ πεπορνευμένος, φησὶν, ἢ ἡταιρηκώς· τὸν γὰρ τὸ σῶμα τὸ ἑαυτοῦ ἐφ' ὕβρει πεπρακότα καὶ τὰ κοινὰ τὰ τῆς πόλεως ῥᾳδίως ἡγήσατο ἀποδώσεσθαι. τέταρτον τίσι διαλέγεται; ἢ τὰ πατρῷα, 30
φησὶ, κατεδηδοκὼς ἢ ὧν ἂν κληρονόμος γένηται· τὸν

γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὰ κοινὰ
τῆς πόλεως παραπλησίως ἡγήσατο διαθεῖναι, καὶ οὐκ
ἐδόκει οἷόν τ' εἶναι τῷ νομοθέτῃ τὸν αὐτὸν ἄνθρωπον
ἰδίᾳ μὲν εἶναι πονηρὸν, δημοσίᾳ δὲ χρηστὸν, οὐδ' ᾤετο
δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα τῶν
31 λόγων ἐπιμεληθέντα πρότερον, ἀλλ' οὐ τοῦ βίου. καὶ 56
παρὰ μὲν ἀνδρὸς καλοῦ καὶ ἀγαθοῦ, κἂν πάνυ κακῶς
καὶ ἁπλῶς ῥηθῇ λόγος, χρήσιμα τὰ λεγόμενα ἡγήσατο
εἶναι τοῖς ἀκούουσι· παρὰ δὲ ἀνθρώπου βδελυροῦ καὶ
καταγελάστως μὲν κεχρημένου τῷ ἑαυτοῦ σώματι,
αἰσχρῶς δὲ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότος, οὐδ'
ἂν εὖ πάνυ λεχθῇ συνοίσειν ἡγήσατο τοῖς ἀκούουσι.
32 τούτους οὖν ἐξείργει ἀπὸ τοῦ βήματος, τούτους ἀπα-
γορεύει μὴ δημηγορεῖν. ἐὰν δέ τις παρὰ ταῦτα μὴ μό-
νον λέγῃ, ἀλλὰ καὶ συκοφαντῇ καὶ ἀσελγαίνῃ καὶ μη-
κέτι τὸν τοιοῦτον ἄνθρωπον δύνηται φέρειν ἡ πόλις,
δοκιμασίαν μὲν, φησὶν, ἐπαγγειλάτω Ἀθηναίων ὁ βου-
λόμενος, οἷς ἔξεστιν, ὑμᾶς δ' ἤδη κελεύει περὶ τούτων
ἐν τῷ δικαστηρίῳ διαγιγνώσκειν· καὶ νῦν ἐγὼ κατὰ
τοῦτον τὸν νόμον ἥκω πρὸς ὑμᾶς.

33 Ταῦτα μὲν οὖν πάλαι νενομοθέτηται· ὑμεῖς δ' ἔτι
προσέθεσθε καινὸν νόμον μετὰ τὸ καλὸν παγκράτιον, 57
ὃ οὗτος ἐπαγκρατίασεν ἐν τῇ ἐκκλησίᾳ, ὑπεραισχυν-
θέντες ἐπὶ τῷ πράγματι, καθ' ἑκάστην ἐκκλησίαν ἀπο-
κληροῦν φυλὴν ἐπὶ τὸ βῆμα, ἥτις προεδρεύσει. καὶ τί
προσέταξεν ὁ τιθεὶς τὸν νόμον; καθῆσθαι κελεύει τοὺς
φυλέτας βοηθοῦντας τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ,
ὡς, εἰ μὴ βοήθειάν ποθεν μεταπεμψόμεθα ἐπὶ τοὺς
οὕτω βεβιωκότας, οὐδὲ βουλεύεσθαι δυνησομένους 58
34 ἡμᾶς περὶ τῶν σπουδαιοτάτων πραγμάτων. ἔστι δ' οὐ-
δὲν ὄφελος, ὦ Ἀθηναῖοι, ζητεῖν τοὺς τοιούτους ἀνθρώ-
πους ἀπελαύνειν ἀπὸ τοῦ βήματος ταῖς κραυγαῖς· οὐ

γαρ αἰσχύνονται· ἀλλὰ ταῖς τιμωρίαις τούτους ἀπεθίζειν χρή· μόνως γὰρ ἂν οὕτως ἀνεκτοὶ γένοιντο.

59 Ἀναγνώσεται οὖν ὑμῖν τοὺς νόμους τοὺς περὶ τῆς εὐκοσμίας κειμένους τῶν ῥητόρων καὶ τὸν περὶ τῆς προεδρίας τῶν φυλῶν νόμον, ὃν Τίμαρχος οὑτοσὶ καὶ ἕτεροι τοιοῦτοι ῥήτορες συνελθόντες γεγραμμένοι εἰσὶ μὴ ἐπιτήδειον εἶναι, ἵν᾽ ἐξῇ πράττειν αὐτοῖς καὶ λέγειν καὶ ζῆν, ὡς αὐτοὶ βούλονται.

ΝΟΜΟΙ.

[Τῶν ῥητόρων ἐάν τις λέγῃ ἐν βουλῇ ἢ ἐν δήμῳ μὴ περὶ 35
τοῦ εἰσφερομένου ἢ μὴ χωρὶς περὶ ἑκάστου ἢ δὶς περὶ τοῦ
60 αὐτοῦ ὁ αὐτὸς τῆς αὐτῆς, ἢ λοιδορῆται, ἢ κακῶς ἀγορεύῃ
τινά, ἢ ὑποκρούῃ, ἢ χρηματιζόντων μεταξὺ ἀνεστηκὼς
61 λέγῃ περί του μὴ ἐπὶ τοῦ βήματος, ἢ παρακελεύηται ἢ
ἕλκῃ τὸν ἐπιστάτην, ἀφειμένης τῆς ἐκκλησίας ἢ τῆς βουλῆς κυριευέτωσαν οἱ πρόεδροι μέχρι πεντήκοντα δραχμῶν
62 καθ᾽ ἕκαστον ἀδίκημα ἐπιγράφειν τοῖς πράκτορσιν. εἰ
δὲ πλέονος ἄξιός ἐστι ζημίας, ἐπιβαλόντες μέχρι πεντή-
63 κοντα δραχμῶν εἰσφερέτωσαν εἰς τὴν βουλὴν ἢ εἰς τὴν
πρώτην ἐκκλησίαν. ὅταν δ᾽ ἐξίωσιν αἱ κλήσεις, κρινάτωσαν· καὶ ἐὰν καταγνωσθῇ αὐτοῦ κρύβδην ψηφιζομένων, ἐγγραψάτωσαν οἱ πρόεδροι τοῖς πράκτορσιν.]

64 Τῶν μὲν οὖν νόμων ἀκηκόατε, ὦ Ἀθηναῖοι, καὶ 36
εὖ οἶδ᾽ ὅτι δοκοῦσιν ὑμῖν καλῶς ἔχειν. τούτους μέντοι τοὺς νόμους εἶναι χρησίμους ἢ ἀχρήστους ἐφ᾽ ὑμῖν ἐστιν· ἐὰν μὲν γὰρ κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι, ἐὰν δ᾽ ἀφιῆτε, καλοὶ μόνον, κύριοι δὲ οὐκέτι.

Βούλομαι δ᾽, ὥσπερ ὑπεθέμην ἀρχόμενος τοῦ λό- 37
γου, ἐπειδὴ περὶ τῶν νόμων εἴρηκα, πάλιν τὸ μετὰ τοῦτο ἀντεξετάσαι τοὺς τρόπους τοὺς Τιμάρχου, ἵν᾽ εἰδῆτε, ὅσον διαφέρουσι τῶν νόμων τῶν ὑμετέρων. δέομαι δ᾽ ὑμῶν, ὦ Ἀθηναῖοι, συγγνώμην μοι ἔχειν,

*ἐὰν ἀναγκαζόμενος λέγειν περὶ ἐπιτηδευμάτων φύσει
μὲν μὴ καλῶν, τούτῳ δὲ πεπραγμένων ἐξαχθῶ τι ῥῆμα
38 εἰπεῖν, ὅ ἐστιν ὅμοιον τοῖς ἔργοις τοῖς Τιμάρχου. οὐδὲ
γὰρ ἂν δικαίως ἐμοὶ ἐπιτιμήσαιτε, εἴ τι σαφῶς εἴποιμι
διδάσκειν βουλόμενος, ἀλλὰ πολὺ μᾶλλον τούτῳ, εἰ
αἰσχρῶς οὕτω τυγχάνει βεβιωκώς, ὥστε τὸν τὰ τούτῳ
πεπραγμένα διεξιόντα ἀδύνατον εἶναι εἰπεῖν ὡς αὐτὸς
βούλεται, ἐὰν μή τι καὶ τῶν τοιούτων φθέγξηται ῥημά-
των. εὐλαβήσομαι δ' αὐτὸ ποιεῖν ὡς ἂν δύνωμαι μά-* 65
λιστα.

39 *Σκέψασθε δέ, ὦ Ἀθηναῖοι, ὡς μετρίως μέλλω
προσφέρεσθαι Τιμάρχῳ τουτῳί. ἐγὼ γάρ, ὅσα μὲν παῖς
ὢν εἰς τὸ σῶμα τὸ ἑαυτοῦ ἡμάρτηκεν, ἀφίημι, καὶ ἔστω
ταῦτα ἄκυρα, ὥσπερ τὰ ἐπὶ τῶν τριάκοντα καὶ τὰ πρὸ
Εὐκλείδου ἢ εἴ τις ἄλλη πώποτε τοιαύτη γέγονε προ-
θεσμία· ἃ δὲ ἤδη φρονῶν καὶ μειράκιον ὢν καὶ τοὺς
νόμους ἐπιστάμενος τοὺς τῆς πόλεως διαπέπρακται,
περὶ τούτων ἔγωγε τὰς κατηγορίας ποιήσομαι καὶ ὑμᾶς
ἐπ' αὐτοῖς ἀξιῶ σπουδάζειν.*

40 *Οὗτος γὰρ πρῶτον μὲν πάντων, ἐπειδὴ ἀπηλλάγη
ἐκ παίδων, ἐκάθητο ἐν Πειραιεῖ ἐπὶ τοῦ Εὐθυδίκου
ἰατρείου, προφάσει μὲν τῆς τέχνης μαθητής, τῇ δ' ἀλη-
θείᾳ πωλεῖν αὑτὸν προῃρημένος, ὡς αὐτὸ τοὖργον
ἔδειξεν. ὅσοι μὲν οὖν τῶν ἐμπόρων ἢ τῶν ἄλλων ξένων* 66
*ἢ τῶν πολιτῶν τῶν ἡμετέρων κατ' ἐκείνους τοὺς χρό-
νους ἐχρήσαντο τῷ σώματι Τιμάρχου, ἑκὼν καὶ τού-
τους ὑπερβήσομαι, ἵνα μή με τις εἴπῃ ὡς ἄρα λίαν
ἀκριβολογοῦμαι ἅπαντα· ὧν δ' ἐν ταῖς οἰκίαις γέγονε
καταισχύνων τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὴν πόλιν, μι-
σθαρνῶν ἐπ' αὐτῷ τούτῳ, ὃ ἀπαγορεύει ὁ νόμος μὴ
πράττειν ἢ μὴ δημηγορεῖν, περὶ τούτων ποιήσομαι
41 τοὺς λόγους. Μισγόλας ἔστι τις Ναυκράτους, ὦ Ἀθη-*

ναῖοι, Κολλυτεὺς, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς κἀγαθὸς,
καὶ οὐδαμῇ ἄν τις αὐτὸν μέμψαιτο, περὶ δὲ τὸ πρᾶγμα
τοῦτο δαιμονίως ἐσπουδακὼς καὶ ἀεί τινας ἔχειν εἰω-
67 θὼς περὶ αὐτὸν κιθαρῳδοὺς ἢ κιθαριστάς. ταυτὶ δὲ
λέγω οὐ τοῦ φορτικοῦ ἕνεκα, ἀλλ' ἵν' αὐτὸν γνωρίσητε
ὅστις ἐστίν. οὗτος αἰσθόμενος ὧν ἕνεκα τὰς διατριβὰς
ἐποιεῖτο Τίμαρχος οὑτοσὶ ἐπὶ τοῦ ἰατρείου, ἀργύριόν
τι προαναλώσας ἀνέστησεν αὐτὸν καὶ ἔσχε παρ' ἑαυτῷ,
εὔσαρκον ὄντα καὶ νέον καὶ βδελυρὸν καὶ ἐπιτήδειον
πρὸς τὸ πρᾶγμα, ὃ προῃρεῖτο ἐκεῖνος μὲν πράττειν, οὗ-
τος δὲ πάσχειν. καὶ ταῦτα ποιεῖν οὐκ ὤκνησεν, ἀλλ' ὑπέ- 42
στη Τίμαρχος οὑτοσὶ οὐδενὸς ὢν τῶν μετρίων ἐνδεής·
πολλὴν γὰρ πάνυ κατέλιπεν ὁ πατὴρ αὐτῷ οὐσίαν, ἣν
οὗτος κατεδήδοκεν, ὡς ἐγὼ προϊόντος ἐπιδείξω τοῦ λό-
γου· ἀλλ' ἔπραξε ταῦτα δουλεύων ταῖς αἰσχίσταις ἡδο-
ναῖς, ὀψοφαγίαις καὶ πολυτελείαις δείπνων καὶ αὐλη-
τρίσι καὶ ἑταίραις καὶ κύβοις καὶ τοῖς ἄλλοις, ὑφ' ὧν
οὐδενὸς δεῖ κρατεῖσθαι τὸν γενναῖον καὶ ἐλεύθερον.
καὶ οὐκ ᾐσχύνθη ὁ μιαρὸς οὗτος ἐκλιπὼν μὲν τὴν πα-
τρῴαν οἰκίαν, διαιτώμενος δὲ παρὰ Μισγόλᾳ οὔτε
πατρικῷ ὄντι φίλῳ οὔθ' ἡλικιώτῃ οὔτε ἐπιτρόπῳ,
68 ἀλλὰ παρ' ἀλλοτρίῳ καὶ πρεσβυτέρῳ ἑαυτοῦ, καὶ παρ'
ἀκολάστῳ περὶ ταῦτα ὡραῖος ὤν. πολλὰ μὲν οὖν καὶ 43
ἄλλα καταγέλαστα πέπρακται Τιμάρχῳ κατ' ἐκείνους
τοὺς χρόνους, ἓν δὲ, ὃ καὶ διηγήσασθαι ὑμῖν βούλομαι.
ἦν μὲν Διονυσίων τῶν ἐν ἄστει ἡ πομπὴ, ἐπόμπευον
δ' ἐν τῷ αὐτῷ ὅ τε Μισγόλας ὁ τοῦτον ἀνειληφὼς καὶ
Φαῖδρος Καλλίου Σφήττιος. συνθεμένου δ' αὐτοῖς
συμπομπεύειν Τιμάρχου τουτουὶ οἱ μὲν περὶ τὴν ἄλ-
λην παρασκευὴν διέτριβον, οὗτος δὲ οὐκ ἐπανῆκε. πα-
ρωξυμμένος δὲ πρὸς τὸ πρᾶγμα ὁ Μισγόλας ζήτησιν
αὐτοῦ ἐποιεῖτο μετὰ τοῦ Φαίδρου, ἐξαγγελθέντος

δ' αὐτοῖς εὑρίσκουσι τοῦτον ἐν συνοικίᾳ μετὰ ξένων 69
τινῶν συναριστῶντα. διαπειλησαμένου δὲ τοῦ Μισγόλα
καὶ τοῦ Φαίδρου τοῖς ξένοις καὶ κελευόντων ἤδη ἀκο-
λουθεῖν εἰς τὸ δεσμωτήριον, ὅτι μειράκιον ἐλεύθερον
διέφθειραν, φοβηθέντες οἱ ξένοι ᾤχοντο φεύγοντες,
44 καταλιπόντες τὰ παρεσκευασμένα. καὶ ταῦθ' ὅτι ἐγὼ
ἀληθῆ λέγω, ἅπαντες, ὅσοι κατ' ἐκείνους τοὺς χρόνους
ἐγίγνωσκον Μισγόλαν καὶ Τίμαρχον, ἴσασιν. ᾗ δὴ καὶ
πάνυ χαίρω, ὅτι μοι γέγονεν ἡ δίκη πρὸς ἄνθρωπον
οὐκ ἠγνοημένον ὑφ' ὑμῶν, οὐδ' ἀπ' ἄλλου γιγνωσκό-
μενον οὐδενὸς ἢ ἀπ' αὐτοῦ τοῦ ἐπιτηδεύματος, περὶ
οὗ καὶ τὴν ψῆφον μέλλετε φέρειν. περὶ μὲν γὰρ τῶν
ἀγνοουμένων σαφεῖς ἴσως προσήκει τὰς ἀποδείξεις
ποιεῖσθαι τὸν κατήγορον, περὶ δὲ τῶν ὁμολογουμένων
οὐ λίαν ἔγωγε μέγα ἔργον εἶναι νομίζω τὸ κατηγορεῖν·
45 ἀναμνῆσαι γὰρ μόνον προσήκει τοὺς ἀκούοντας. ἐγὼ
τοίνυν καίπερ ὁμολογουμένου τοῦ πράγματος, ἐπειδὴ
ἐν δικαστηρίῳ ἐσμέν, γέγραφα μαρτυρίαν Μισγόλᾳ 70
ἀληθῆ μέν, οὐκ ἀπαίδευτον δέ, ὡς ἐγὼ ἐμαυτὸν πείθω.
αὐτὸ μὲν γὰρ τοὔνομα τοῦ ἔργου, ὃ ἔπραττε πρὸς τοῦ-
τον, οὐκ ἐγγράφω, οὐδ' ἄλλο γέγραφα οὐδέν, ὃ ἐπιζή-
μιόν ἐστιν ἐκ τῶν νόμων τῷ τἀληθῆ μαρτυρήσαντι·
ἃ δέ ἐστιν ὑμῖν ἀκούουσι γνώριμα, ἀκίνδυνα δὲ τῷ 71
46 μαρτυροῦντι καὶ μὴ αἰσχρά, ταῦτα γέγραφα. ἐὰν μὲν
οὖν ἐθελήσῃ ὁ Μισγόλας δεῦρο παρελθὼν τἀληθῆ
μαρτυρῆσαι, τὰ δίκαια ποιήσει· ἐὰν δὲ προαιρῆται
ἐκκλητευθῆναι μᾶλλον ἢ τἀληθῆ μαρτυρεῖν, ὑμεῖς τὸ
ὅλον πρᾶγμα συνήσετε. εἰ γὰρ ὁ μὲν πράξας αἰσχυνεῖ-
ται καὶ προαιρήσεται χιλίας μᾶλλον δραχμὰς ἀποτῖσαι
τῷ δημοσίῳ, ὥστε μὴ δεῖξαι τὸ πρόσωπον τὸ ἑαυτοῦ
ὑμῖν, ὁ δὲ [illegible]πονθὼς δημηγορήσει, σοφὸς ὁ νομοθέτης 72
ὁ τοὺς οὕτω βδελυροὺς ἐξείργων ἀπὸ τοῦ βήματος.

ἐὰν δ' ἄρα ὑπακούσῃ μέν, τράπηται δὲ ἐπὶ τὸ ἀναιδέ- 47
στατον, ἐπὶ τὸ ἐξόμνυσθαι τὰς ἀληθείας, ὡς Τιμάρχῳ
μὲν χάριτας ἀποδιδούς, ἑτέροις δ' ἐπίδειξιν ποιούμε-
νος, ὡς εὖ ἐπίσταται τὰ τοιαῦτα συγκρύπτειν, πρῶτον
μὲν εἰς ἑαυτὸν ἐξαμαρτήσεται, ἔπειτα οὐδὲν αὐτῷ ἔσται
πλέον. ἑτέραν γὰρ ἐγὼ γέγραφα μαρτυρίαν τοῖς εἰδόσι
Τίμαρχον τουτονὶ ἐκλιπόντα τὴν πατρῴαν οἰκίαν καὶ
διαιτώμενον παρὰ Μισγόλᾳ, πρᾶγμα, οἶμαι, χαλε-
πὸν ἐξεργάζεσθαι ἐπιχειρῶν· οὔτε γὰρ ἐμὲ δεῖ τοὺς
ἐμαυτοῦ φίλους μάρτυρας παρασχέσθαι οὔτε τοὺς τού-
των ἐχθροὺς οὐδὲ τοὺς μηδετέρους ἡμῶν γιγνώσκον-
τας, ἀλλὰ τοὺς τούτων φίλους. ἂν δ' ἄρα καὶ τούτους 48
73 πείσωσι μὴ μαρτυρεῖν, ὡς οὐκ οἶμαί γε· εἰ δὲ μή, ἀλλ'
οὐχ ἅπαντας, ἐκεῖνό γε οὐδέποτε δυνήσονται, ἀφε-
λέσθαι τὴν ἀλήθειαν, οὐδὲ τὴν ἐν τῇ πόλει περὶ Τι-
μάρχου φήμην, ἣν οὐκ ἐγὼ τούτῳ παρεσκεύασα, ἀλλ'
αὐτὸς οὗτος ἑαυτῷ. οὕτω γὰρ καθαρὸν χρὴ τὸν βίον
εἶναι τοῦ σώφρονος ἀνδρός, ὥστε μὴ ἐπιδέχεσθαι δό-
ξαν αἰτίας πονηρᾶς.

Βούλομαι δὲ κἀκεῖνο προειπεῖν, ἐὰν ἄρα ὑπακούσῃ 49
ὁ Μισγόλας τοῖς νόμοις καὶ ὑμῖν. εἰσὶ φύσεις ἀνθρώ-
πων πολὺ διαφέρουσαι ὀφθῆναι ἀλλήλων τὰ περὶ τὴν
74 ἡλικίαν· ἔνιοι μὲν γὰρ νέοι ὄντες προφερεῖς καὶ πρε-
σβύτεροι φαίνονται, ἕτεροι δὲ πολὺν ἀριθμὸν χρόνου
γεγονότες παντάπασι νέοι. τούτων δ' ἐστὶ τῶν ἀνδρῶν
ὁ Μισγόλας. τυγχάνει μὲν γὰρ ἡλικιώτης ὢν ἐμὸς καὶ
συνέφηβος, καὶ ἔστιν ἡμῖν τουτὶ πέμπτον καὶ τετταρα-
κοστὸν ἔτος· καὶ ἐγὼ μὲν τοσαυτασὶ πολιὰς ἔχω, ἃς
ὑμεῖς ὁρᾶτε, ἀλλ' οὐκ ἐκεῖνος. διὰ τί οὖν ταῦτα προ-
λέγω; ἵνα μὴ ἐξαίφνης αὐτὸν ἰδόντες θαυμάσητε καὶ
τοιοῦτόν τι τῇ διανοίᾳ ὑπολάβητε· „ὦ Ἡράκλεις, ἀλλ'
οὗτός γε τούτου οὐ πολὺ διαφέρει.“ ἅμα μὲν γὰρ ἡ

φύσις ἐστὶ τοιαύτη τοῦ ἀνθρώπου, ἅμα δὲ ἤδη μειρακίῳ ὄντι αὐτῷ ἐπλησίαζεν.

50 Ἵνα δὲ μὴ διατρίβω, πρῶτον μὲν κάλει μοι τοὺς εἰδότας Τίμαρχον τουτονὶ διαιτώμενον ἐν τῇ Μισγόλα οἰκίᾳ, ἔπειτα τὴν Φαίδρου μαρτυρίαν ἀναγίγνωσκε. καὶ τελευταίαν δέ μοι λαβὲ τὴν αὐτοῦ Μισγόλα μαρτυρίαν, ἵνα καὶ τοὺς θεοὺς δεδιὼς καὶ τοὺς συνειδότας 75 αἰσχυνόμενος καὶ τοὺς ἄλλους πολίτας καὶ ὑμᾶς τοὺς δικαστὰς ἐθελήσῃ τἀληθῆ μαρτυρεῖν.

ΜΑΡΤΥΡΙΑΙ.

[Μισγόλας Νικίου Πειραιεὺς μαρτυρεῖ. ἐμοὶ ἐγένετο ἐν τῇ συνηθείᾳ Τίμαρχος ὁ ἐπὶ τοῦ Εὐθυδίκου ἰατρείου ποτὲ καθεζόμενος, καὶ κατὰ τὴν γνῶσίν μου τὴν πρὸς αὐτὸν πολυωρῶν εἰς τὴν νῦν οὐ διέλιπον.]

51 Εἰ μὲν τοίνυν, ὦ Ἀθηναῖοι, Τίμαρχος οὑτοσὶ διέ- 76
μεινε παρὰ τῷ Μισγόλᾳ καὶ μηκέτι ὡς ἄλλον ἧκε, μετριώτερ᾽ ἂν διεπέπρακτο, εἴ δή τι τῶν τοιούτων ἐστὶ μέτριον, καὶ ἔγωγε οὐκ ἂν ὤκνησα αὐτὸν οὐδὲν αἰτιᾶσθαι ἢ ὅπερ ὁ νομοθέτης παρρησιάζεται, ἡταιρηκέναι μόνον· ὁ γὰρ πρὸς ἕνα τοῦτο πράττων, ἐπὶ μισθῷ δὲ τὴν πρᾶξιν ποιούμενος, αὐτῷ μοι δοκεῖ τούτῳ ἔνοχος
52 εἶναι. ἐὰν δ᾽ ὑμᾶς ἀναμνήσας ἐπιδείξω, ὑπερβαίνων τούσδε τοὺς ἀγρίους ἄνδρας, Κηδωνίδην καὶ Αὐτοκλείδην καὶ Θέρσανδρον, ἀλλ᾽ ἐπιδείξω αὐτοὺς λέγων ὧν ἐν ταῖς οἰκίαις ἀνειλημμένος γέγονε, μὴ μόνον 77
παρὰ τῷ Μισγόλᾳ μεμισθαρνηκότα αὐτὸν ἐπὶ τῷ σώματι, ἀλλὰ καὶ παρ᾽ ἑτέρῳ καὶ πάλιν παρ᾽ ἄλλῳ, καὶ παρὰ τούτου ὡς ἕτερον ἐληλυθότα, οὐκέτι δήπου φαίνεται μόνον ἡταιρηκώς, ἀλλὰ καὶ (μὰ τὸν Διόνυσον οὐκ οἶδ᾽ ὅπως δυνήσομαι περιπλέκειν ὅλην τὴν ἡμέραν) καὶ πεπορνευμένος· ὁ γὰρ εἰκῇ τοῦτο καὶ πρὸς 78

πολλοὺς πράττων καὶ μισθοῦ αὐτῷ μοι τούτῳ δοκεῖ
ἔνοχος εἶναι.
Ἐπειδὴ τοίνυν ὁ Μισγόλας τῇ τε δαπάνῃ ἀπεῖπε 53
καὶ τοῦτον ἐξέπεμψε παρ' ἑαυτοῦ, μετὰ τοῦτον ἀνα-
λαμβάνει αὐτὸν Ἀντικλῆς Καλλίου Εὐωνυμεύς. οὗτος
μὲν οὖν ἄπεστιν ἐν Σάμῳ μετὰ τῶν κληρούχων· ἀλλὰ
τὰ μετὰ ταῦτα ἐρῶ. ὡς γὰρ ἀπηλλάγη παρὰ τοῦ Ἀντι-
κλέους καὶ τοῦ Μισγόλα Τίμαρχος οὑτοσὶ, οὐκ ἐνουθέ-
τησεν ἑαυτὸν οὐδὲ βελτιόνων διατριβῶν ἥψατο, ἀλλὰ
79 διημέρευεν ἐν τῷ κυβείῳ, οὗ ἡ τηλία τίθεται καὶ τοὺς
ἀλεκτρυόνας συμβάλλουσι καὶ κυβεύουσιν· ἤδη γὰρ
οἶμαί τινας ὑμῶν ἑωρακέναι ἃ λέγω, εἰ δὲ μὴ, ἀλλ'
ἀκηκοέναι γε. τῶν δὲ ἐκ τῆς διατριβῆς ταύτης ἐστί τις 54
Πιττάλακος, ἄνθρωπος δημόσιος οἰκέτης τῆς πόλεως.
οὗτος εὐπορῶν ἀργυρίου καὶ ἰδὼν τοῦτον ἐν τῇ δια-
τριβῇ ταύτῃ ἀνέλαβεν αὐτὸν καὶ εἶχε παρ' ἑαυτῷ. καὶ
ταῦτ' οὐκ ἐδυσχέραινεν ὁ μιαρὸς οὑτοσὶ, μέλλων ἑαυ-
τὸν καταισχύνειν πρὸς ἄνθρωπον δημόσιον οἰκέτην
τῆς πόλεως· ἀλλ' εἰ λήψεται χορηγὸν τῇ βδελυρίᾳ τῇ
ἑαυτοῦ, τοῦτο μόνον ἐσκέψατο, τῶν δὲ καλῶν ἢ τῶν
αἰσχρῶν οὐδεμίαν πώποτε πρόνοιαν ἐποιήσατο. καὶ 55
τοιαῦτα ἁμαρτήματα καὶ τοιαύτας ὕβρεις ἐγὼ ἀκήκοα
γεγονέναι ὑπὸ τοῦ ἀνθρώπου τούτου εἰς τὸ σῶμα τοῦ
Τιμάρχου, οἵας ἐγὼ μὰ τὸν Δία τὸν Ὀλύμπιον οὐκ ἂν
τολμήσαιμι πρὸς ὑμᾶς εἰπεῖν· ἃ γὰρ οὗτος ἔργῳ πράτ-
των οὐκ ᾐσχύνετο, ταῦτ' ἐγὼ λόγῳ σαφῶς ἐν ὑμῖν
80 εἰπὼν οὐκ ἂν ἐδεξάμην ζῆν. ὑπὸ δὲ τοὺς αὐτοὺς χρό-
νους τούτους, ἐν οἷς οὗτος ἦν παρὰ τῷ Πιτταλάκῳ,
καταπλεῖ δεῦρο ἐξ Ἑλλησπόντου Ἡγήσανδρος ὁ τοῦ-
τον ἀνειληφὼς, περὶ οὗ πάλαι εὖ οἶδ' ὅτι θαυμάζετε
διότι οὐ μέμνημαι· οὕτως ἐναργές ἐστιν ὃ ἐρῶ. οὗτος 56
ὁ Ἡγήσανδρος ἀφικνεῖται, ὃν ὑμεῖς ἴστε κάλλιον ἢ

ἐγώ. ἔτυχε δὲ τότε συμπλεύσας εἰς Ἑλλήσποντον τα-
μίας Τιμομάχῳ τῷ Ἀχαρνεῖ τῷ στρατηγήσαντι, καὶ ἧκε
δεῦρο ἀπολελαυκώς, ὡς λέγεται, τῆς ἐκείνου εὐηθείας,
ἔχων οὐκ ἐλάττους ἢ ὀγδοήκοντα μνᾶς ἀργυρίου· καὶ
τρόπον τινὰ οὐχ ἥκιστα αἴτιος ἐγένετο οὗτος Τιμο-
57 μάχῳ τῆς συμφορᾶς. ὢν δ' ἐν τοιαύτῃ ἀφθονίᾳ καὶ
φοιτῶν ὡς τὸν Πιττάλακον συγκυβευτὴν ὄντα, καὶ
τοῦτον ἐκεῖ πρῶτον ἰδών, ἥσθη τε καὶ ἐπεθύμησε καὶ
ἐβουλήθη ὡς αὑτὸν ἀναλαβεῖν, καί πως ἴσως ἡγήσατο
εἶναι αὐτὸν ἐγγὺς τῆς αὑτοῦ φύσεως. πρῶτον μὲν οὖν
τῷ Πιτταλάκῳ διελέχθη δεόμενος παραδοῦναι τοῦτον·
ὡς δ' οὐκ ἔπειθεν αὐτόν, αὐτῷ τούτῳ προσβάλλει, καὶ
οὐ πολὺν ἀνήλωσε χρόνον, ἀλλ' εὐθὺς ἐπεπείκει·
καὶ γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα δεινὴ ἡ κακία καὶ ἀπιστία, 81
58 ὥστε καὶ ἐξ αὐτῶν τούτων εἰκότως ἂν μισοῖτο. ὡς
δ' ἀπήλλακτο μὲν παρὰ τοῦ Πιτταλάκου, ἀνείληπτο δὲ
ὑπὸ τοῦ Ἡγησάνδρου, ὠδυνᾶτο, οἶμαι, ὁ Πιττάλακος
τοσοῦτον ἀργύριον μάτην, ὡς ᾤετο, ἀνηλωκώς, καὶ
ἐζηλοτύπει τὰ γιγνόμενα καὶ ἐφοίτα ἐπὶ τὴν οἰκίαν. ὅτι
δὲ αὐτοῖς ἠνώχλει, σκέψασθε μεγάλην ῥώμην Ἡγη- 82
σάνδρου καὶ Τιμάρχου· μεθυσθέντες γάρ ποτε καὶ αὐ-
τοὶ καὶ τῶν συγκυβευτῶν τινες καὶ ἄλλοι, ὧν οὐ βού-
59 λομαι τὰ ὀνόματα λέγειν, εἰσπηδήσαντες νύκτωρ εἰς
τὴν οἰκίαν, οὗ ᾤκει ὁ Πιττάλακος, πρῶτον μὲν συνέ-
τριβον τὰ σκευάρια καὶ διερρίπτουν εἰς τὴν ὁδόν,
ἀστραγάλους τέ τινας διασείστους καὶ φιμοὺς καὶ κυ- 83
βευτικὰ ἕτερα ὄργανα, καὶ τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκ-
τρυόνας, οὓς ἠγάπα ὁ τρισκακοδαίμων ἄνθρωπος,
ἀπέκτειναν, τὸ δὲ τελευταῖον δήσαντες πρὸς τὸν κίονα
αὐτὸν τὸν Πιττάλακον ἐμαστίγουν τὰς ἐξ ἀνθρώπων
πληγὰς οὕτω πολὺν χρόνον, ὥστε καὶ τοὺς γείτονας
60 αἰσθέσθαι τῆς κραυγῆς. τῇ δ' ὑστεραίᾳ ὑπεραγανα-

πολλοὺς πράττων καὶ μισθοῦ αὐτῷ μοι τούτῳ δοκεῖ ἔνοχος εἶναι.

Ἐπειδὴ τοίνυν ὁ Μισγόλας τῇ τε δαπάνῃ ἀπεῖπε 53
καὶ τοῦτον ἐξέπεμψε παρ' ἑαυτοῦ, μετὰ τοῦτον ἀναλαμβάνει αὐτὸν Ἀντικλῆς Καλλίου Εὐωνυμεύς. οὗτος μὲν οὖν ἄπεστιν ἐν Σάμῳ μετὰ τῶν κληρούχων· ἀλλὰ τὰ μετὰ ταῦτα ἐρῶ. ὡς γὰρ ἀπηλλάγη παρὰ τοῦ Ἀντικλέους καὶ τοῦ Μισγόλα Τίμαρχος οὑτοσὶ, οὐκ ἐνουθέτησεν ἑαυτὸν οὐδὲ βελτιόνων διατριβῶν ἥψατο, ἀλλὰ
79 *διημέρευεν ἐν τῷ κυβείῳ, οὗ ἡ τηλία τίθεται καὶ τοὺς ἀλεκτρυόνας συμβάλλουσι καὶ κυβεύουσιν· ἤδη γὰρ οἶμαί τινας ὑμῶν ἑωρακέναι ἃ λέγω, εἰ δὲ μὴ, ἀλλ' ἀκηκοέναι γε. τῶν δὲ ἐκ τῆς διατριβῆς ταύτης ἐστί τις* 54
Πιττάλακος, ἄνθρωπος δημόσιος οἰκέτης τῆς πόλεως. οὗτος εὐπορῶν ἀργυρίου καὶ ἰδὼν τοῦτον ἐν τῇ διατριβῇ ταύτῃ ἀνέλαβεν αὐτὸν καὶ εἶχε παρ' ἑαυτῷ. καὶ ταῦτ' οὐκ ἐδυσχέραινεν ὁ μιαρὸς οὑτοσὶ, μέλλων ἑαυτὸν καταισχύνειν πρὸς ἄνθρωπον δημόσιον οἰκέτην τῆς πόλεως· ἀλλ' εἰ λήψεται χορηγὸν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ, τοῦτο μόνον ἐσκέψατο, τῶν δὲ καλῶν ἢ τῶν αἰσχρῶν οὐδεμίαν πώποτε πρόνοιαν ἐποιήσατο. καὶ 55
τοιαῦτα ἁμαρτήματα καὶ τοιαύτας ὕβρεις ἐγὼ ἀκήκοα γεγονέναι ὑπὸ τοῦ ἀνθρώπου τούτου εἰς τὸ σῶμα τοῦ Τιμάρχου, οἵας ἐγὼ μὰ τὸν Δία τὸν Ὀλύμπιον οὐκ ἂν τολμήσαιμι πρὸς ὑμᾶς εἰπεῖν· ἃ γὰρ οὗτος ἔργῳ πράττων οὐκ ᾐσχύνετο, ταῦτ' ἐγὼ λόγῳ σαφῶς ἐν ὑμῖν
80 *εἰπὼν οὐκ ἂν ἐδεξάμην ζῆν. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τούτους, ἐν οἷς οὗτος ἦν παρὰ τῷ Πιτταλάκῳ, καταπλεῖ δεῦρο ἐξ Ἑλλησπόντου Ἡγήσανδρος ὁ τοῦτον ἀνειληφὼς, περὶ οὗ πάλαι εὖ οἶδ' ὅτι θαυμάζετε διότι οὐ μέμνημαι· οὕτως ἐναργές ἐστιν ὃ ἐρῶ. οὗτος* 56
ὁ Ἡγήσανδρος ἀφικνεῖται, ὃν ὑμεῖς ἴστε κάλλιον ἢ

ἐγώ. ἔτυχε δὲ τότε συμπλεύσας εἰς Ἑλλήσποντον ταμίας Τιμομάχῳ τῷ Ἀχαρνεῖ τῷ στρατηγήσαντι, καὶ ἧκε δεῦρο ἀπολελαυκὼς, ὡς λέγεται, τῆς ἐκείνου εὐηθείας, ἔχων οὐκ ἐλάττους ἢ ὀγδοήκοντα μνᾶς ἀργυρίου· καὶ τρόπον τινὰ οὐχ ἥκιστα αἴτιος ἐγένετο οὗτος Τιμο-
57 μάχῳ τῆς συμφορᾶς. ὢν δ' ἐν τοιαύτῃ ἀφθονίᾳ καὶ φοιτῶν ὡς τὸν Πιττάλακον συγκυβευτὴν ὄντα, καὶ τοῦτον ἐκεῖ πρῶτον ἰδὼν, ἥσθη τε καὶ ἐπεθύμησε καὶ ἐβουλήθη ὡς αὑτὸν ἀναλαβεῖν, καί πως ἴσως ἡγήσατο εἶναι αὐτὸν ἐγγὺς τῆς αὑτοῦ φύσεως. πρῶτον μὲν οὖν τῷ Πιτταλάκῳ διελέχθη δεόμενος παραδοῦναι τοῦτον· ὡς δ' οὐκ ἔπειθεν αὐτὸν, αὐτῷ τούτῳ προσβάλλει, καὶ οὐ πολὺν ἀνήλωσε χρόνον, ἀλλ' εὐθὺς ἐπεπείκει· καὶ γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα δεινὴ ἡ κακία καὶ ἀπιστία, 81
58 ὥστε καὶ ἐξ αὐτῶν τούτων εἰκότως ἂν μισοῖτο. ὡς δ' ἀπήλλακτο μὲν παρὰ τοῦ Πιτταλάκου, ἀνείληπτο δὲ ὑπὸ τοῦ Ἡγησάνδρου, ὠδυνᾶτο, οἶμαι, ὁ Πιττάλακος τοσοῦτον ἀργύριον μάτην, ὡς ᾤετο, ἀνηλωκὼς, καὶ ἐζηλοτύπει τὰ γιγνόμενα καὶ ἐφοίτα ἐπὶ τὴν οἰκίαν. ὅτι δὲ αὐτοῖς ἠνώχλει, σκέψασθε μεγάλην ῥώμην Ἡγη- 82
σάνδρου καὶ Τιμάρχου· μεθυσθέντες γάρ ποτε καὶ αὐτοὶ καὶ τῶν συγκυβευτῶν τινες καὶ ἄλλοι, ὧν οὐ βού-
59 λομαι τὰ ὀνόματα λέγειν, εἰσπηδήσαντες νύκτωρ εἰς τὴν οἰκίαν, οὗ ᾤκει ὁ Πιττάλακος, πρῶτον μὲν συνέτριβον τὰ σκευάρια καὶ διερρίπτουν εἰς τὴν ὁδὸν, ἀστραγάλους τέ τινας διασείστους καὶ φιμοὺς καὶ κυ- 83
βευτικὰ ἕτερα ὄργανα, καὶ τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας, οὓς ἠγάπα ὁ τρισκακοδαίμων ἄνθρωπος, ἀπέκτειναν, τὸ δὲ τελευταῖον δήσαντες πρὸς τὸν κίονα αὐτὸν τὸν Πιττάλακον ἐμαστίγουν τὰς ἐξ ἀνθρώπων πληγὰς οὕτω πολὺν χρόνον, ὥστε καὶ τοὺς γείτονας
60 αἰσθέσθαι τῆς κραυγῆς. τῇ δ' ὑστεραίᾳ ὑπεραγανα-

84 κτήσας τῷ πράγματι ὁ Πιττάλακος ἔρχεται γυμνὸς εἰς
τὴν ἀγορὰν καὶ καθίζει ἐπὶ τὸν βωμὸν τῆς μητρὸς τῶν
θεῶν. ὄχλου δὲ συνδραμόντος, οἷον εἴωθε γίγνεσθαι,
φοβηθέντες ὅ τε Ἡγήσανδρος καὶ ὁ Τίμαρχος, μὴ ανα-
κηρυχθῇ αὐτῶν ἡ βδελυρία εἰς πᾶσαν τὴν πόλιν, ἐπῄει
δὲ ἐκκλησία, θέουσι πρὸς τὸν βωμὸν καὶ αὐτοὶ καὶ τῶν
συγκυβευτῶν τινες, καὶ περιστάντες ἐδέοντο τοῦ Πιτ- 61
ταλάκου ἀναστῆναι, λέγοντες, ὅτι τὸ ὅλον πρᾶγμα
παροινία γέγονεν, καὶ αὐτὸς δὲ οὗτος, οὐδέπω μὰ Δία
ὥσπερ νῦν ἀργαλέος ὢν τὴν ὄψιν, ἀλλ' ἔτι χρήσιμος,
ὑπογενειάζων τὸν ἄνθρωπον καὶ πάντα φάσκων πρά-
ξειν, ἃ ἂν ἐκείνῳ συνδοκῇ. πέρας πείθουσιν ἀναστῆ-
ναι ἀπὸ τοῦ βωμοῦ τὸν ἄνθρωπον ὡς τευξόμενόν τινος
τῶν δικαίων. ὡς δ' ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς, οὐκέτι
προσεῖχον αὐτῷ τὸν νοῦν. βαρέως δὲ φέρων τὴν ὕβριν 62
αὐτῶν ὁ ἄνθρωπος δίκην ἑκατέρῳ αὐτῶν λαγχάνει. ὅτι
δ' ἐδικάζετο, σκέψασθε μεγάλην ῥώμην Ἡγησάνδρου·
85 ἄνθρωπον οὐδὲν αὐτὸν ἠδικηκότα, ἀλλὰ τὸ ἐναντίον
ἠδικημένον, οὐδὲν προσήκοντα αὐτῷ, ἀλλὰ δημόσιον
οἰκέτην τῆς πόλεως, ἦγεν εἰς δουλείαν φάσκων ἑαυτοῦ
εἶναι δοῦλον. ἐν παντὶ δὲ κακοῦ γενόμενος ὁ Πιττάλα-
κος προσπίπτει ἀνδρὶ καὶ μάλα χρηστῷ. ἔστι τις Γλαύ-
κων Χολαργεύς· οὗτος αὐτὸν ἀφαιρεῖται εἰς ἐλευ-
θερίαν. τὸ δὲ μετὰ τοῦτο δικῶν λήξεις ἐποιήσαντο. 63
προϊόντος δὲ τοῦ χρόνου ἐπέτρεψαν διαγνῶναι τὸ
πρᾶγμα Διοπείθει τῷ Σουνιεῖ, δημότῃ τε ὄντι τοῦ
Ηγησάνδρου καὶ ἤδη ποτὲ καὶ χρησαμένῳ, ὅτ' ἦν ἐν-
ηλικίᾳ· παραλαβὼν δὲ τὸ πρᾶγμα ὁ Διοπείθης ἀνε-
βάλλετο χαριζόμενος τούτοις χρόνους ἐκ χρόνων. ὡς 64
86 δὲ παρῄει ἐπὶ τὸ βῆμα τὸ ὑμέτερον ὁ Ἡγήσανδρος, ὅτε
καὶ προσεπολέμει Ἀριστοφῶντι τῷ Ἀζηνιεῖ, πρὶν αὐτῷ
τὴν αὐτὴν ταύτην ἠπείλησεν ἐπαγγελίαν ἐν τῷ δήμῳ,

ἥνπερ ἐγὼ Τιμάρχῳ ἐπήγγειλα, καὶ ἐπειδὴ Κρωβύλος ὁ ἀδελφὸς αὐτοῦ ἐδημηγόρει καὶ ὅλως ἀπετόλμων ὑμῖν οὗτοι περὶ τῶν Ἑλληνικῶν συμβουλεύειν, ἐνταῦ- 87
θα δὴ καταμεμψάμενος ἑαυτὸν ὁ Πιττάλακος καὶ ἐκλογισάμενος, τίς ὢν πρὸς οὕστινας ἐπολέμει, εὖ ἐβουλεύσατο (δεῖ γὰρ τἀληθῆ λέγειν) ἡσυχίαν ἔχειν, καὶ ἠγάπησεν, εἴ τι μὴ προσλάβοι καινὸν κακόν. ἐνταῦθα δὴ τὴν καλὴν ταύτην νίκην νενικηκὼς ὁ Ἡγήσανδρος
65 ἀκονιτὶ εἶχε παρ' ἑαυτῷ Τίμαρχον τουτονί. καὶ ταῦτα ὅτι ἀληθῆ λέγω, πάντες ἴστε· τίς γὰρ ὑμῶν οὐ πώποτε εἰς τοὖψον ἀφῖκται καὶ τὰς δαπάνας τὰς τούτων οὐ 88
τεθεώρηκεν; ἢ τίς τοῖς τούτων κώμοις καὶ μοιχείαις περιτυχὼν οὐκ ἠχθέσθη ὑπὲρ τῆς πόλεως; ὅμως δ', ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμὲν, κάλει μοι Γλαύκωνα τὸν Χολαργέα τὸν ἀφελόμενον εἰς ἐλευθερίαν τὸν Πιττάλακον, καὶ τὰς ἑτέρας μαρτυρίας ἀναγίγνωσκε.

ΜΑΡΤΥΡΙΑΙ.

66 [Μαρτυρεῖ Γλαύκων Τιμαίου Χολαργεύς. ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν. χρόνῳ δ' ὕστερον ἐλθὼν πρὸς ἐμὲ Πιττάλακος ἔφη βούλεσθαι διαλυθῆναι τὰ πρὸς Ἡγήσανδρον, προσπέμψας αὐτῷ ἅρασθαι ἥν τε αὐτὸς ἐνεκαλέ- 89
σατο Ἡγήσανδρον καὶ Τίμαρχον καὶ ἣν Ἡγήσανδρος τῆς δουλείας αὐτόν· καὶ οὕτω διελύθησαν.

ΜΑΡΤΥΡΙΑ.

Ἀμφισθένης μαρτυρεῖ. ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν, καὶ τὰ ἑξῆς.]

67 Οὐκοῦν καὶ αὐτὸν ὑμῖν καλέσω τὸν Ἡγήσανδρον. γέγραφα δ' αὐτῷ μαρτυρίαν κοσμιωτέραν μὲν ἢ κατ' ἐκεῖνον, μικρῷ δὲ σαφεστέραν ἢ τῷ Μισγόλᾳ. οὐκ ἀγνοῶ δ', ὅτι ἀπομεῖται καὶ ἐπιορκήσει. διὰ τί οὖν αὐ-

*τὸν καλῶ ἐπὶ τὴν μαρτυρίαν; ἵν' ὑμῖν ἐπιδείξω, οἵους
ἀπεργάζεται ἀνθρώπους τὸ ἐπιτήδευμα τοῦτο, ὡς κα-
ταφρονοῦντας μὲν τῶν θεῶν, ὑπερορῶντας δὲ τοὺς
νόμους, ὀλιγώρως δὲ ἔχοντας πρὸς ἅπασαν αἰσχύνην.
κάλει μοι τὸν Ἡγήσανδρον.*

ΜΑΡΤΥΡΙΑ.

90 [*Ἡγήσανδρος Διφίλου Στειριεὺς μαρτυρεῖ. ὅτε κατέ-* 68
*πλευσα ἐξ Ἑλλησπόντου, κατέλαβον παρὰ Πιτταλάκῳ τῷ
κυβευτῇ διατρίβοντα τὸν Τίμαρχον τὸν Ἀριζήλου, καὶ ἐξ*
91 *ἐκείνης τῆς γνώσεως ἐχρησάμην Τιμάρχῳ ὁμιλῶν τῇ αὐτῇ
χρήσει, ᾗ καὶ τὸ πρότερον Λεωδάμαντι.*]

Οὐκ ἠγνόουν, ὅτι ὑπερόψεται τὸν ὅρκον, ὦ Ἀθη- 69
*ναῖοι, ἀλλὰ καὶ προεῖπον ὑμῖν. κἀκεῖνο δέ μοι πρόδη-
λόν ἐστιν, ὅτι, ἐπειδὴ νῦν οὐκ ἐθέλει μαρτυρεῖν, αὐ-
τίκα πάρεισιν ἐν τῇ ἀπολογίᾳ. καὶ οὐδὲν μὰ Δία θαυ-
μαστόν· ἀναβήσεται γὰρ ὑμῖν δεῦρο πιστεύων τῷ ἑαυ-*
92 *τοῦ βίῳ, ἀνὴρ καλὸς κἀγαθὸς καὶ μισοπόνηρος καὶ
τὸν Λεωδάμαντα ὅστις ἦν οὐ γιγνώσκων, ἐφ' ᾧ ὑμεῖς
ἐθορυβήσατε τῆς μαρτυρίας ἀναγιγνωσκομένης. ἆρά* 70
*γε προαχθήσομαί τι σαφέστερον εἰπεῖν ἢ κατὰ τὴν
ἐμαυτοῦ φύσιν; εἴπατέ μοι πρὸς τοῦ Διὸς καὶ τῶν ἄλ-
λων θεῶν, ὦ Ἀθηναῖοι, ὅστις αὑτὸν κατῄσχυνε πρὸς
Ἡγήσανδρον, οὐ δοκεῖ ὑμῖν πρὸς τὸν πόρνον πεπορ-
νεῦσθαι; ἢ τίνας αὐτοὺς οὐκ οἰόμεθ' ὑπερβολὰς
ποιεῖσθαι βδελυρίας παροινοῦντας καὶ μονουμένους;
οὐκ οἴεσθε τὸν Ἡγήσανδρον ἀπολογούμενον τὰς πρὸς*
93 *τὸν Λεωδάμαντα πράξεις τὰς περιβοήτους, ἃς ὑμεῖς
ἅπαντες σύνιστε, ὑπερήφανα τὰ ἐπιτάγματα ἐπιτάτ-
τειν, ὡς ταῖς τούτου ὑπερβολαῖς αὐτὸν δόξοντα μέτρια
διαπεπρᾶχθαι; ἀλλ' ὅμως ὄψεσθε, ὅτι καὶ μάλα ἐπι-* 71
94 *στρεφῶς καὶ ῥητορικῶς αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ
Κρωβύλος αὐτίκα μάλα δεῦρο ἀναπηδήσαντες ταῦτα*

μὲν εἶναι πολλῆς ἀβελτερίας φήσουσιν, ἃ ἐγὼ λέγω.
ἀξιώσουσι δέ με μάρτυρας παρασχέσθαι διαρρήδην
μαρτυροῦντας, ὅπου ἔπραττεν, ὅπως ἐποίει, ἢ τίς
72 εἶδεν, ἢ τίς ἦν ὁ τρόπος, πρᾶγμα, οἶμαι, ἀναιδὲς λέ-
γοντες. οὐ γὰρ ἔγωγε ὑπολαμβάνω οὕτως ὑμᾶς ἐπι-
λήσμονας εἶναι, ὥστε ἀμνημονεῖν ὧν ὀλίγῳ πρότερον
ἠκούσατε ἀναγιγνωσκομένων τῶν νόμων, ἐν οἷς γέ- 95
γραπται, ἐάν τις μισθώσηταί τινα Ἀθηναίων ἐπὶ ταύ-
την τὴν πρᾶξιν ἢ ἐάν τις ἑαυτὸν μισθώσῃ, ἔνοχον εἶναι
τοῖς μεγίστοις καὶ τοῖς ἴσοις ἐπιτιμίοις. τίς οὖν οὕτω
ταλαίπωρός ἐστιν ἄνθρωπος, ὅστις ἂν ἐθελήσειε σα-
φῶς τοιαύτην μαρτυρίαν μαρτυρῆσαι, ἐξ ἧς ὑπάρχει
αὐτῷ, ἐὰν τἀληθῆ μαρτυρήσῃ, ἐπιδεικνύναι ἔνοχον
73 ὄντα ἑαυτὸν τοῖς ἐσχάτοις ἐπιτιμίοις; οὐκοῦν ὑπόλοι-
πόν ἐστι τὸν πεπονθότα ὁμολογεῖν. ἀλλὰ διὰ τοῦτο
κρίνεται, ὅτι ταῦτα πράξας παρὰ τοὺς νόμους ἐδημη-
γόρει. βούλεσθε οὖν τὸ ὅλον πρᾶγμα ἀφῶμεν καὶ μὴ
ζητῶμεν; νὴ τὸν Ποσειδῶ καλῶς ἄρα τὴν πόλιν οἰκή-
σομεν, εἰ, ἃ αὐτοὶ ἔργῳ ἴσμεν γιγνόμενα, ταῦτα ἐὰν
μή τις δεῦρο παρελθὼν σαφῶς ἅμα καὶ ἀναισχύντως
μαρτυρήσῃ, διὰ τοῦτο ἐπιλησόμεθα.

74 Σκέψασθε δὲ καὶ ἐκ παραδειγμάτων· ἀνάγκη δ᾽
ἴσως ἔσται παραπλήσια παραδείγματα εἶναι τοῖς τρό- 96
ποις τοῖς Τιμάρχου. ὁρᾶτε τουτουσὶ τοὺς ἐπὶ τῶν οἰκη-
μάτων καθεζομένους, τοὺς ὁμολογουμένως τὴν πρᾶ-
ξιν πράττοντας. οὗτοι μέντοι ὅταν πρὸς τῇ ἀνάγκῃ
ταύτῃ γίγνωνται, ὅμως πρό γε τῆς αἰσχύνης προβάλ-
λονταί τι καὶ συγκλῄουσι τὰς θύρας. εἰ δή τις ὑμᾶς
ἔροιτο τοὺς ὁδῷ πορευομένους, τί νῦν οὗτος ὁ ἄνθρω- 97
πος πράττει, εὐθὺς ἂν εἴποιτε τοῦ ἔργου τοὔνομα, οὐχ
νων κατέγνωτε, τὰ δ' ἀπὸ τῆς μητρὸς Σκύθης, βάρβα-
ρος ἑλληνίζων τῇ φωνῇ· ὅθεν καὶ τὴν πονηρίαν οὐκ
ἐπιχώριός ἐστι. περὶ δὲ τὴν καθ' ἡμέραν δίαιταν τίς 17
ἐστιν; ἐκ τριηράρχου λογογράφος ἀνεφάνη, τὰ πα-
τρῷα καταγελάστως προέμενος· ἄπιστος δὲ καὶ περὶ
ταῦτα δόξας εἶναι καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντι-
δίκοις ἀνεπήδησεν ἐπὶ τὸ βῆμα· πλεῖστον δ' ἐκ τῆς
πόλεως εἰληφὼς ἀργύριον ἐλάχιστα περιεποιήσατο
564 νῦν μέντοι τὸ βασιλικὸν χρυσίον ἐπικέκλυκε τὴν δα-
πάνην αὐτοῦ, ἔσται δ' οὐδὲ τοῦθ' ἱκανόν· οὐδεὶς γὰρ
πώποτε πλοῦτος τρόπου πονηροῦ περιεγένετο· καὶ τὸ
κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πο-
ρίζεται, ἀλλ' ἐκ τῶν ὑμετέρων κινδύνων. περὶ δ' εὐ- 1
565 γνωμοσύνην καὶ λόγου δύναμιν πῶς πέφυκε; δεινὸς
λέγειν, κακὸς βιῶναι. οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυ-
τοῦ σώματι καὶ παιδοποιίᾳ ὥστ' ἐμὲ μὴ βούλεσθαι
λέγειν ἃ τούτῳ πέπρακται· ἤδη γάρ ποτε εἶδον μιση-
θέντας τοὺς τὰ τῶν πλησίον αἰσχρὰ λίαν σαφῶς λέγον-
τας. ἔπειτα τί συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί,
τὰ δ' ἔργα φαῦλα. πρὸς δὲ ἀνδρίαν βραχύς μοι λείπε- 1
ται λόγος. εἰ μὲν γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι ἢ ὑμεῖς
μὴ συνῄδειτε, διατριβὴν ὁ λόγος ἄν μοι παρέσχεν·
ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις καὶ
ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς περὶ τούτων
κειμένους νόμους. ὁ γὰρ Σόλων ὁ παλαιὸς νομοθέ-
566 της ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν
ἀστράτευτον καὶ τὸν λελοιπότα τὴν τάξιν καὶ τὸν δει-
λὸν ὁμοίως· εἰσὶ γὰρ καὶ δειλίας γραφαί. καίτοι θαυ-
μάσειεν ἄν τις ὑμῶν, εἰ εἰσὶ φύσεως γραφαί. εἰσίν.
τίνος ἕνεκα; ἵν' ἕκαστος ἡμῶν τὰς ἐκ τῶν νόμων ζη-
μίας φοβούμενος μᾶλλον ἢ τοὺς πολεμίους ἀμείνων

76 *ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος ὑπάρχῃ. ὁ μὲν τοίνυν
νομοθέτης τὸν ἀστράτευτον καὶ τὸν δειλὸν καὶ τὸν λι-
πόντα τὴν τάξιν ἔξω τῶν περιρραντηρίων τῆς ἀγορᾶς
ἐξείργει, καὶ οὐκ ἐᾷ στεφανοῦσθαι οὐδ' εἰσιέναι εἰς τὰ
ἱερὰ τὰ δημοτελῆ· σὺ δὲ τὸν ἀστεφάνωτον ἐκ τῶν νό-
μων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ σαυτοῦ ψηφί-
σματι τὸν οὐ προσήκοντα εἰσκαλεῖς τοῖς τραγῳδοῖς εἰς
τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου τὸν τὰ ἱερὰ
διὰ δειλίαν προδεδωκότα.*

*Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως,
ἐκεῖνο μέμνησθε, ὅταν φῇ δημοτικὸς εἶναι· θεωρεῖτ'
αὐτοῦ μὴ τὸν λόγον, ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε, μὴ* 567
τίς φησιν εἶναι, ἀλλὰ τίς ἐστιν.

77 *Ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως
ἔτι μέμνημαι, προλέγω ὑμῖν, ἄνδρες Ἀθηναῖοι, εἰ μὴ
καταλύσετε τὰς ἀφθόνους ταύτας δωρεὰς καὶ τοὺς
εἰκῇ διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν
ὑμῖν εἴσονται οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορ-
θωθήσεται· τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελ-
τίους ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυ-
μίαν ἐμβαλεῖτε. ὅτι δ' ἀληθῆ λέγω, μεγάλα τούτων*
78 *οἶμαι σημεῖα δείξειν ὑμῖν. εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε,
πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις ἡμῶν εἶναι ἐπὶ
τῶν νυνὶ καιρῶν ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν
ὁμολογήσαιτε, ἐπὶ τῶν προγόνων. ἄνδρες δὲ πότερον
τότε ἀμείνους ἦσαν ἢ νυνί; τότε μὲν διαφέροντες,
νυνὶ δὲ πολλῷ καταδεέστεροι. δωρεαὶ δὲ καὶ στέφα-
νοι καὶ κηρύγματα καὶ σιτήσεις ἐν πρυτανείῳ πότε-
ρον τότε ἦσαν πλείους ἢ νυνί; τότε μὲν ἦν σπάνια
τὰ καλὰ παρ' ἡμῖν καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον·
νῦν δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα, καὶ τὸ στεφα-* 568
79 *νοῦν ἐξ ἔθους, ἀλλ' οὐκ ἐκ προνοίας ποιεῖσθε. οὐκ οὖν*

*ἄτοπον οὑτωσὶ διαλογιζομένοις τὰς μὲν δωρεὰς νῦν
πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλ-
λον ἢ νῦν ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους
εἶναι, τότε δ' ἀμείνους; ἐγὼ δὲ τοῦθ' ὑμᾶς ἐπιχειρήσω
διδάσκειν. οἴεσθ' ἄν ποτε, ὦ Ἀθηναῖοι, ἐθελῆσαί τινα
569 ἐπασκεῖν εἰς τὰ Ὀλύμπια ἢ εἰς ἄλλον τινὰ τῶν στεφα-
νιτῶν ἀγώνων παγκράτιον ἢ καὶ ἄλλο τι τῶν βαρυ-
τέρων ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ,
ἀλλὰ τῷ διαπραξαμένῳ; οὐδεὶς ἄν ποτ' ἠθέλησεν ἐπα-
σκεῖν. νῦν δ', οἶμαι, διὰ τὸ σπάνιον καὶ τὸ περιμάχητον* 18
*καὶ τὸ καλὸν καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης ἐθέλουσί
τινες τὰ σώματα παρακαταθέμενοι καὶ τὰς μεγίστας
ταλαιπωρίας ὑπομείναντες διακινδυνεύειν. ὑπολάβετε
τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς ἀρε-
τῆς, κἀκεῖνο ἐκλογίσασθε, ὅτι, ἐὰν μὲν τὰς δωρεὰς ὀλί-
γοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολ-
λοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τῷ βουλομένῳ
καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς
φύσεις διαφθερεῖτε. ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σα-* 18
*φέστερον ὑμᾶς βούλομαι διδάξαι πότερον ὑμῖν ἀμεί-
570 νων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς ὁ στρατηγήσας,
ὅτ' ἐν τῇ Σαλαμῖνι ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε, ἢ
Δημοσθένης ὁ τὴν τάξιν λιπών; Μιλτιάδης δὲ ὁ τὴν
ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας, ἢ οὗ-
τος; ἔτι δ' οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγα-
γόντες; Ἀριστείδης δ' ὁ δίκαιος, ὁ τὴν ἀνόμοιον ἔχων
ἐπωνυμίαν Δημοσθένει; ἀλλ' ἔγωγε μὰ τοὺς θεοὺς* 18
*τοὺς Ὀλυμπίους οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον
571 ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου καὶ ἐκείνων
τῶν ἀνδρῶν. ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ
αὑτοῦ λόγῳ, εἴ που γέγραπταί τινα τῶν ἀνδρῶν τού-
των στεφανῶσαι. ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὔκ, ἀλλὰ*

μεγαλόφρων, κἀκεῖνοί γε οἱ μὴ τετιμημένοι τῆς πόλεως ἄξιοι· οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι, 572 ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμβανον; ὧν ἄξιόν ἐστι μνησθῆναι.

83 Ἦσάν τινες κατὰ τοὺς τότε καιρούς, οἳ πολὺν πόνον ὑπομείναντες καὶ μεγάλους κινδύνους ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους· οὗτοι δεῦρο ἀφικόμενοι τὸν δῆμον ᾔτησαν δωρεάν, καὶ ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν, ἐφ' ᾧτε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, 573 ἵνα μὴ τῶν στρατηγῶν, ἀλλὰ τοῦ δήμου δοκῇ εἶναι τὸ

84 ἐπίγραμμα. ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων εἴσεσθε. ἐπιγέγραπται γὰρ ἐπὶ τῷ μὲν πρώτῳ τῶν Ἑρμῶν

ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
 παισὶν ἐπ' Ἠϊόνι, Στρυμόνος ἀμφὶ ῥοάς,
λιμόν τ' αἴθωνα κρατερόν τ' ἐπάγοντες Ἄρηα 574
 πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

ἐπὶ δὲ τῷ δευτέρῳ

ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν
 ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
 ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.

85 ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ 575

ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
 ἡγεῖτο ζάθεον Τρωικὸν ἂμ πεδίον,
ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων
 κοσμητῆρα μάχης ἔξοχον ἄνδρα μολεῖν.

οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

ἔστι που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου

Προσέλθετε δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν 18
ποικίλην· ἁπάντων γὰρ ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται. τί οὖν ἐστιν, ὦ Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν Μαραθῶνι μάχη
576 *γέγραπται. τίς οὖν ἦι ὁ στρατηγός; οὑτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες ἀποκρίναισθε ἄν, ὅτι Μιλτιάδης, ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται. πῶς; οὐκ ᾔτησε τὴν δωρεὰν ταύτην; ᾔτησεν, ἀλλ' ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ' ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ πρώτῳ γραφῆναι, παρακαλοῦντι τοὺς στρατιώτας. ἐν τοίνυν τῷ μητρῴῳ* 18
παρὰ τὸ βουλευτήριον, ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν, ἔστιν ἰδεῖν. ἦν μὲν γὰρ ὁ τὸ ψήφισμα γράψας καὶ νικήσας Ἀρχῖνος ὁ ἐκ Κοίλης, εἷς τῶν καταγαγόντων τὸν δῆμον, ἔγραψε δὲ πρῶτον μὲν αὐτοῖς εἰς θυσίαν καὶ ἀναθήματα δοῦναι χιλίας δραχμάς, καὶ τοῦτ' ἐστὶν ἔλαττον ἢ δέκα δραχμαὶ κατ' ἄνδρα ἕκαστον, ἔπειτα κελεύει στεφα-
577 *νοῦσθαι θαλλοῦ στεφάνῳ αὐτῶν ἕκαστον, ἀλλ' οὐ χρυσῷ· τότε μὲν γὰρ ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος, νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται. καὶ οὐδὲ τοῦτο εἰκῇ πρᾶξαι κελεύει, ἀλλ' ἀκριβῶς τὴν βουλὴν σκεψαμένην, ὅσοι αὐτῶν ἐπὶ Φυλῇ ἐπολιορκήθησαν, ὅτε Λακεδαιμόνιοι καὶ οἱ τριάκοντα προσέβαλλον τοῖς καταλαβοῦσι Φυλήν, οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν Χαιρωνείᾳ τῶν πολεμίων ἐπιόντων. ὅτι δ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὸ ψήφισμα.*

ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΔΩΡΕΑΣ ΤΟΙΣ ΑΠΟ ΦΥΛΗΣ.

88 *Παρανάγνωθι καὶ ὃ γέγραφε Κτησιφῶν Δημο-* 578
σθένει τῷ τῶν μεγίστων κακῶν αἰτίῳ.

ΨΗΦΙΣΜΑ.

Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν καταγαγόντων τὸν δῆμον δωρεά. εἰ τοῦτ' ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς· εἰ ἐκεῖνοι κατ' ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται.

89 *Καίτοι πυνθάνομαί γ' αὐτὸν μέλλειν λέγειν, ὡς οὐ δίκαια ποιῶ παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα· οὐδὲ γὰρ Φιλάμμωνά φησι τὸν πύκτην Ὀλυμπίασι στεφανωθῆναι νικήσαντα Γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ' ἑαυτὸν ἀγωνιστάς, ὥσπερ ὑμᾶς ἀγνοοῦντας, ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ' ἀξιοῦσι στεφανοῦσθαι πρὸς αὐτὴν τὴν ἀρετήν, ἧς καὶ ἕνεκα στεφανοῦνται. δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάρρησιν ἐν τῷ θεάτρῳ ποιῆται πρὸς τοὺς Ἕλληνας. μὴ οὖν ἡμῖν,
ὡς Παταικίωνος ἄμεινον πεπολίτευσαι, διέξιθι, ἀλλ'* 579
ἐφικόμενος τῆς ἀνδραγαθίας, οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει.

90 *Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα, ὃ ἐπι-
γέγραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσιν.* 580

ΕΠΙΓΡΑΜΜΑ.

Τούσδ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις
θεσμοῖς ἄρξαντας πρῶτοι πόλεως καταπαύειν
ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

91 *Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυσαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι. ἔναυλον γὰρ ἦν τότε πᾶσιν, ὅτι τηνικαῦτα ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. καὶ*

*γάρ τοι, ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανό-
μην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέντε ἐτελεύτησεν,
ἁπάντων μετασχὼν τῶν πόνων τῇ πόλει, ὃς πολλάκις
πρὸς ἐμὲ διεξῄει ἐπὶ σχολῆς. ἔφη γάρ, ὅτε ἀρτίως κα-
τεληλύθει ὁ δῆμος, εἴ τις εἰσίοι γραφὴν παρανόμων
581 εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον.
τί γάρ ἐστιν ἀνοσιώτερον ἀνδρὸς παράνομα λέγοντος
582 καὶ πράττοντος; καὶ τὴν ἀκρόασιν, ὡς ἐκεῖνος ἀπήγ- 19
γελλεν, οὐ τὸν αὐτὸν τρόπον ἐποιοῦντο, ὥσπερ νῦν
γίγνεται, ἀλλ' ἦσαν πολὺ χαλεπώτεροι οἱ δικασταὶ τοῖς
τὰ παράνομα γράφουσιν αὐτοῦ τοῦ κατηγόρου, καὶ
πολλάκις ἀνεπόδιζον τὸν γραμματέα καὶ ἐκέλευον πά-
λιν ἀναγιγνώσκειν τοὺς νόμους καὶ τὸ ψήφισμα, καὶ
ἡλίσκοντο οἱ παράνομα γράφοντες, οὐκ εἰ πάντας πα-
ραπηδήσειαν τοὺς νόμους, ἀλλ' εἰ μίαν μόνον συλλα-
βὴν παραλλάξειαν. τὸ δὲ νυνὶ γιγνόμενον πρᾶγμα
ὑπερκαταγέλαστόν ἐστιν· ὁ μὲν γὰρ γραμματεὺς ἀνα-
γιγνώσκει τὸ παράνομον, οἱ δὲ δικασταὶ ὥσπερ ἐπῳ-
δὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι πρὸς ἑτέρῳ
τινὶ τὴν γνώμην ἔχουσιν. ἤδη δ' ἐκ τῶν τεχνῶν τῶν 19
583 Δημοσθένους αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις πα-
ραδέχεσθε. μετενήνεκται γὰρ ὑμῖν τὰ τῆς πόλεως δί-
καια· ὁ μὲν γὰρ κατήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων
τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοτε ὧν μέν
εἰσι κριταὶ ἐπιλανθάνονται, ὧν δ' οὐκ εἰσὶ δικασταί,
περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν. λέγει δὲ
ὁ φεύγων, ἂν ἄρα ποθ' ἅψηται τοῦ πράγματος, οὐχ
ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ πρότερον
ἕτερος τοιαῦτα γράψας ἀπέφυγεν. ἐφ' ᾧ καὶ νυνὶ μέγα
φρονεῖν ἀκούω Κτησιφῶντα. ἐτόλμα δ' ἐν ὑμῖν ποτε 19
σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεὺς λέγων,
ὅτι γραφὰς παρανόμων πέφευγεν ἑβδομήκοντα καὶ*

*πέντε. ἀλλ᾽ οὐχὶ ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος, ὁ δο-
κῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ᾽ ἐπὶ
τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων, ὅτι πλεῖστα πάν-
των γεγραφὼς ψηφίσματα οὐδεμίαν πώποτε γραφὴν
πέφευγε παρανόμων, καλῶς, οἶμαι, σεμνυνόμενος.
ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ δια-
πολιτευόμενοι, ἀλλὰ καὶ οἱ φίλοι τοὺς φίλους, εἴ τι* 584
95 *ἐξαμαρτάνοιεν εἰς τὴν πόλιν. ἐκεῖθεν δὲ τοῦτο γνώ-
σεσθε. Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων
Θρασύβουλον τὸν Στειριᾶ γράψαντά τι παρὰ τοὺς* 585
*νόμους, ἕνα τῶν συγκατελθόντων αὐτῷ ἀπὸ Φυλῆς,
καὶ εἷλε νεωστὶ γεγενημένων αὐτῷ τῶν εὐεργεσιῶν,
ἃς οὐχ ὑπελογίσαντο οἱ δικασταί· ἡγοῦντο γάρ, ὥσπερ
τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς Θρασύβουλος κα-
τήγαγεν, οὕτω νῦν μένοντας ἐξελαύνειν παρὰ τοὺς*
96 *νόμους γράφοντά τι. ἀλλ᾽ οὐ νῦν, ἀλλ᾽ ἅπαν τοὐναν-
τίον γίγνεται· οἱ γὰρ ἀγαθοὶ στρατηγοὶ ὑμῶν καὶ τῶν
τὰς σιτήσεις τινὲς εὑρημένων ἐν τῷ πρυτανείῳ ἐξαι-
τοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχα-
ρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε· εἰ γάρ τις ἐν
δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ πολιτείᾳ, ἣν οἱ
θεοὶ καὶ οἱ νόμοι σώζουσι, τολμᾷ βοηθεῖν τοῖς παρά-
νομα γράφουσι, καταλύει τὴν πολιτείαν, ὑφ᾽ ἧς τετί-*
97 *μηται. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ συνηγόρῳ* 586
δικαίῳ καὶ σώφρονι; ἐγὼ λέξω. εἰς τρία μέρη διαιρεῖ- 587
*ται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δι-
καστήριον. ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κα-
τηγόρῳ καὶ τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, τὸ δὲ δεύ-
τερον ὕδωρ τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς αὐτὸ
τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ
λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ ἐγχεῖται τῇ*
98 *τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας. ὅστις*

μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, τὴν ὀργὴν τὴν
588 *ὑμετέραν παραιτεῖται· ὅστις δ' ἐν τῷ πρώτῳ λόγῳ τὴν*
ψῆφον αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν
αἰτεῖ, ὧν οὔτε αἰτῆσαι οὐδὲν ὅσιον οὐδενὶ οὔτ' αἰτη-
θέντα ἑτέρῳ δοῦναι. κελεύσατε οὖν αὐτοὺς, ἐάσαντας
ὑμᾶς τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν,
ἀπαντᾶν εἰς τὴν τίμησιν. ὅλως δ' ἔγωγε, ὦ Ἀθηναῖοι, 199
ὀλίγου δέω εἰπεῖν, ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ ταῖς
γραφαῖς μόνον τῶν παρανόμων, μὴ ἐξεῖναι μήτε τῷ
κατηγόρῳ συνηγόρους παρασχέσθαι μήτε τῷ τὴν γρα-
φὴν τῶν παρανόμων φεύγοντι. οὐ γὰρ ἀόριστόν ἐστι
τὸ δίκαιον, ἀλλ' ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις.
ὥσπερ γὰρ ἐν τῇ τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα
589 *τὸ ὀρθὸν καὶ τὸ μὴ, τὸν κανόνα προσφέρομεν, ᾧ δια-*
γιγνώσκεται, οὕτω καὶ ἐν ταῖς γραφαῖς τῶν παρανό- 200
μων παράκειται κανὼν τοῦ δικαίου τουτὶ τὸ σανίδιον
καὶ τὸ ψήφισμα καὶ οἱ παραγεγραμμένοι νόμοι. ταῦτα
συμφωνοῦντα ἀλλήλοις ἐπιδείξας κατάβαινε· καὶ τί
δεῖ σε Δημοσθένην παρακαλεῖν; ὅταν δ' ὑπερπηδή-
σας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς κακοῦργον ἄν-
θρωπον καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν,
βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.

Τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; 201
ἐγὼ ἐρῶ. ἐπειδὰν προσελθὼν ἐνταυθοῖ Κτησιφῶν
590 *διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ τὸ συντεταγμένον αὐτῷ*
προοίμιον, ἔπειτ' ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπο-
μνήσατ' αὐτὸν ἄνευ θορύβου τὸ σανίδιον λαβεῖν καὶ
τοὺς νόμους τῷ ψηφίσματι παραναγνῶναι. ἐὰν δὲ μὴ
προσποιῆται ὑμῶν ἀκούειν, μηδὲ ὑμεῖς ἐκείνου ἐθέ-
λετε ἀκούειν· οὐ γὰρ τῶν φευγόντων τὰς οὐ δικαίας
ἀπολογίας εἰσεληλύθατε ἀκροασόμενοι, ἀλλὰ τῶν ἐθε-
λόντων δικαίως ἀπολογεῖσθαι. ἐὰν δ' ὑπερπηδήσας 202

τὴν δικαίαν ἀπολογίαν Δημοσθένην παρακαλῇ, μά-
λιστα μὲν μὴ προσδέχεσθε κακοῦργον ἄνθρωπον, οἰό-
μενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀρετῇ
τοῦθ' ὑμῶν μηδεὶς καταλογιζέσθω, ὃς ἂν ἐπανερομέ-
νου Κτησιφῶντος, εἰ καλέσῃ Δημοσθένην, πρῶτος
ἀναβοήσῃ „κάλει, κάλει.“ ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς 591
νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. ἂν δ' ἄρα
ὑμῖν δόξῃ ἀκούειν, ἀξιώσατε τὸν Δημοσθένην τὸν αὐ-
τὸν τρόπον ἀπολογεῖσθαι, ὅνπερ κἀγὼ κατηγόρηκα.
ἐγὼ δὲ πῶς κατηγόρηκα; ἵνα καὶ ὑπομνήσω ὑμᾶς. 592
03 οὔτε τὸν ἴδιον βίον τὸν Δημοσθένους πρότερον διεξ
ῆλθον οὔτε τῶν δημοσίων ἀδικημάτων οὐδενὸς πρό-
τερον ἐμνήσθην, ἄφθονα δήπου καὶ πολλὰ ἔχων λέ-
γειν, ἢ πάντων γ' ἂν εἴην ἀπορώτατος· ἀλλὰ πρῶτον
μὲν τοὺς νόμους ἐπέδειξα ἀπαγορεύοντας μὴ στεφα-
νοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα ἐξήλεγξα
γράψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν
οὐδὲν προβαλλόμενον, οὐδὲ προσεγγράψαντα „ἐπει-
δὰν δῷ τὰς εὐθύνας,“ ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ
τῶν νόμων καταπεφρονηκότα· καὶ τὰς ἐσομένας πρὸς 593
ταῦτα προφάσεις εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημο-
04 νεύειν. δεύτερον δ' ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κη-
ρυγμάτων νόμους, ἐν οἷς διαῤῥήδην ἀπείρηται τὸν ὑπὸ
τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς
ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ φεύγων τὴν γραφὴν οὐ τοὺς
νόμους μόνον παραβέβηκεν, ἀλλὰ καὶ τὸν καιρὸν τῆς
ἀναῤῥήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλη-
σίᾳ, ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάῤῥησιν γίγνεσθαι,
οὐδ' ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ μελλόντων τρα-
γῳδῶν εἰσιέναι. ταῦτα δ' εἰπὼν μικρὰ μὲν περὶ τῶν
ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικη-
05 μάτων λέγω. οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιώσατε

606 *θησε καὶ ἐκείρατο, ἐπὶ τούτοις ἐμὲ στεφανοῦσθαι.“
ἀλλ' οἶμαι, ταῦτα μὲν ἂν εἴποι ἀνὴρ ὄντως βεβιωκὼς
μετ' ἀρετῆς· ἃ δὲ σὺ λέξεις, εἴποι ἂν κάθαρμα ζηλο-
τυποῦν ἀρετήν. οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα τοῦτό γε* 212
*ὑμῶν οὐδεὶς φοβήσεται, μὴ ὁ Δημοσθένης, ἀνὴρ με-
γαλόψυχος καὶ τὰ πολεμικὰ διαφέρων, ἀποτυχὼν τῶν*
607 *ἀριστείων οἴκαδε ἐπανελθὼν ἑαυτὸν διαχρήσηται· ὃς
τοσοῦτον καταγελᾷ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὥστε*
608 *τὴν μιαρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον, ἣν οὗτος
παρὰ τοὺς νόμους γέγραφε στεφανῶσαι, μυριάκις κα-
τατέτμηκε καὶ τούτων μισθοὺς εἴληφε τραύματος ἐκ
προνοίας γραφὰς γραφόμενος, καὶ κατακεκονδύλισται,
ὥστε αὐτὸν οἶμαι τὰ τῶν κονδύλων ἴχνη τῶν Μειδίου
ἔχειν ἔτι φανερά· ὁ γὰρ ἄνθρωπος οὐ κεφαλήν, ἀλλὰ
πρόσοδον κέκτηται.*

609 *Περὶ δὲ Κτησιφῶντος τοῦ γράψαντος τὴν γνώ-* 213
*μην βραχέα βούλομαι εἰπεῖν, τὰ δὲ πολλὰ ὑπερβήσο-
μαι, ἵνα καὶ πεῖραν λάβω, εἰ δύνασθε τοὺς σφόδρα πο-
νηρούς, κἂν μή τις προείπῃ, διαγιγνώσκειν· ὃ δ' ἐστὶ
κοινὸν καὶ δίκαιον κατ' ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι
πρὸς ὑμᾶς, τοῦτ' ἐρῶ. περιέρχονται γὰρ τὴν ἀγορὰν
ἀληθεῖς κατ' ἀλλήλων ἔχοντες δόξας καὶ λόγους οὐ
ψευδεῖς λέγοντες. ὁ μὲν γὰρ Κτησιφῶν οὐ τὸ καθ'* 214
*ἑαυτόν φησι φοβεῖσθαι, ἐλπίζειν γὰρ δόξειν ἰδιώτης
εἶναι, ἀλλὰ τὴν τοῦ Δημοσθένους ἐν τῇ πολιτείᾳ δω-
ροδοκίαν φησὶ φοβεῖσθαι καὶ τὴν ἐμπληξίαν καὶ δει-
λίαν· ὁ δὲ Δημοσθένης εἰς αὐτὸν μὲν ἀποβλέπων θαρ-*
610 *ρεῖν φησιν, τὴν δὲ τοῦ Κτησιφῶντος πονηρίαν καὶ
πορνοβοσκίαν ἰσχυρῶς δεδιέναι. τοὺς δὲ δὴ κατεγνω-
κότας ἀλλήλων ἀδικεῖν μηδαμῶς ὑμεῖς οἱ κοινοὶ κριταὶ
τῶν ἐγκλημάτων ἀπολύσητε.*

Περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βού- 215

λομαι προειπεῖν. πυνθάνομαι γὰρ λέξειν Δημοσθένην,
ὡς ἡ πόλις ὑπ' αὐτοῦ μὲν ὠφέληται πολλὰ, ὑπ' ἐμοῦ
δὲ καταβέβλαπται, καὶ τὸν Φίλιππον καὶ τὸν Ἀλέξαν-
δρον καὶ τὰς ἀπὸ τούτων αἰτίας ἀνοίσειν ἐπ' ἐμέ. οὕτω
γάρ ἐστιν, ὡς ἔοικε, δεινὸς δημιουργὸς λόγων, ὥστε
οὐκ ἀπόχρη αὐτῷ, εἴ τι πεπολίτευμαι παρ' ὑμῖν ἐγὼ
ἢ εἴ τινας δημηγορίας εἴρηκα, τούτων κατηγορεῖν,
16 ἀλλὰ καὶ τὴν ἡσυχίαν μου τοῦ βίου διαβάλλει καὶ τῆς
σιωπῆς μου κατηγορεῖ, ἵνα μηδεὶς αὐτῷ τόπος ἀσυκο-
φάντητος παραλείπηται, καὶ τὰς ἐν τοῖς γυμνασίοις
μετὰ τῶν νεωτέρων μου διατριβὰς καταμέμφεται, καὶ
κατὰ τῆσδε τῆς κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου
φέρει τινὰ αἰτίαν, λέγων, ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ
τῆς πόλεως ἐγραψάμην, ἀλλ' ἐνδεικνύμενος Ἀλεξάν- 611
17 δρῳ διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. καὶ νὴ Δί', ὡς ἐγὼ
πυνθάνομαι, μέλλει με ἀνερωτᾶν, διὰ τί τὸ μὲν κεφά-
λαιον τῆς πολιτείας αὐτοῦ ψέγω, τὰ δὲ καθ' ἕκαστον
οὐκ ἐκώλυον οὐδ' ἐγραφόμην, ἀλλὰ διαλιπὼν καὶ πρὸς
τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήνεγκα τὴν γρα-
φήν. ἐγὼ δὲ οὔτε τὰς Δημοσθένους διατριβὰς ἐζή-
λωκα, οὔτ' ἐπὶ ταῖς ἐμαυτοῦ αἰσχύνομαι, οὔτε τοὺς
εἰρημένους ἐν ὑμῖν λόγους ἐμαυτῷ ἀρρήτους εἶναι
βουλοίμην, οὔτε τὰ αὐτὰ τούτῳ δημηγορήσας ἐδεξά- 612
18 μην ἂν ζῆν. τὴν δ' ἐμὴν σιωπὴν, ὦ Δημόσθενες, ἡ τοῦ
βίου μετριότης παρεσκεύασεν· ἀρκεῖ γάρ μοι μικρὰ
καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ, ὥστε καὶ σιγῶ
καὶ λέγω βουλευσάμενος, ἀλλ' οὐκ ἀναγκαζόμενος
ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης. σὺ δ', οἶμαι, λαβὼν μὲν
σεσίγηκας, ἀναλώσας δὲ κέκραγας. λέγεις δὲ οὐχ ὁπό-
ταν σοι δοκῇ οὐδ' ἃ βούλει, ἀλλ' ὁπόταν οἱ μισθοδό-
ται σοι προστάττωσιν· οὐκ αἰσχύνῃ δὲ ἀλαζονευόμε-
19 νος, ἃ παραχρῆμα ἐξελέγχῃ ψευδόμενος. ἀπηνέχθη

*γὰρ ἡ κατὰ τοῦδε τοῦ ψηφίσματος γραφὴ, ἣν οὐχ ὑπὲρ
τῆς πόλεως, ἀλλ' ὑπὲρ τῆς εἰς Ἀλέξανδρον ἐνδείξεώς
με φῂς ἀπενεγκεῖν, ἔτι Φιλίππου ζῶντος, πρὶν Ἀλέ-
ξανδρον εἰς τὴν ἀρχὴν καταστῆναι, οὔπω σοῦ τὸ περὶ
Παυσανίαν ἐνύπνιον ἑωρακότος οὐδὲ πρὸς τὴν Ἀθη-*
613 *νᾶν καὶ τὴν Ἥραν νύκτωρ διειλεγμένου. πῶς ἂν οὖν
ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ; εἴ γε μὴ ταὐτὸ
ἐνύπνιον ἐγὼ καὶ Δημοσθένης εἴδομεν. ἐπιτιμᾷς δέ* 22
*μοι, εἰ μὴ συνεχῶς, ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον
προσέρχομαι, καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν
μεταφέρων οὐκ ἐκ δημοκρατίας, ἀλλ' ἐξ ἑτέρας πολι-
τείας. ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος,
ἀλλ' ὁ δυναστεύων δημηγορεῖ, ἐν δὲ ταῖς δημοκρατίαις
ὁ βουλόμενος καὶ ὅταν αὐτῷ δοκῇ. καὶ τὸ μὲν διὰ χρό-
νου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμ-*
614 *φέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παρα-
λείπειν ἡμέραν ἐργαζομένου καὶ μισθαρνοῦντος. ὑπὲρ* 22
*δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ' ἐμοῦ μηδὲ τῶν ἀδικημά-
των τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς
τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπο-
λαμβάνεις ἢ σαυτὸν παραλογίζῃ. τὰ μὲν γὰρ περὶ τοὺς
Ἀμφισσέας ἠσεβημένα σοι καὶ τὰ περὶ τὴν Εὔβοιαν
δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων ἐν οἷς ὑπ'
ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως ἐλπίζεις τὸν δῆμον
ἀμνημονεῖν· τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρ-* 22
*χους ἁρπάγματα τίς ἂν ἀποκρύψαι χρόνος δύναιτ' ἄν,
ὅτε νομοθετήσας περὶ τῶν τριακοσίων καὶ σαυτὸν
πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξη-
λέγχθης ὑπ' ἐμοῦ ἑξήκοντα καὶ πέντε νεῶν ταχυναυ-
τουσῶν τριηράρχους ὑφῃρημένος, πλέον τῆς πόλεως*
615 *ἡμῶν ἀφανίζων ναυτικὸν, ἢ ὅτε Ἀθηναῖοι τὴν ἐν
Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλλιν ἐνίκη-*

23 *σαν; οὕτω δὲ ταῖς αἰτίαις ἐνέφραξας τὰς κατὰ σαυτοῦ
τιμωρίας, ὥστε τὸν κίνδυνον εἶναι μὴ σοὶ τῷ ἀδική-
σαντι, ἀλλὰ τοῖς ἐπεξιοῦσι, πολὺν μὲν τὸν Ἀλέξανδρον
καὶ Φίλιππον ἐν ταῖς διαβολαῖς φέρων, αἰτιώμενος δέ
τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιρους, ἀεὶ τὸ πα-
ρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος.
οὐ τὸ τελευταῖον εἰσαγγέλλεσθαι μέλλων ὑπ' ἐμοῦ,* 616
τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου κατασκευάσας,
24 *τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάδι ἀγοράζοντος, καὶ τὸν
αὐτὸν ἄνδρα διαστρεβλώσας τῇ σαυτοῦ χειρὶ, ἔγραψας
αὐτὸν θανάτῳ ζημιῶσαι; καὶ παρὰ τῷ αὐτῷ ἐν Ὠρεῷ
κατήγου, καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες
καὶ ἔσπεισας, καὶ τὴν δεξιὰν ἐνέβαλες ἄνδρα φίλον καὶ
ξένον ποιούμενος. καὶ τοῦτον ἀπέκτεινας, καὶ περὶ τού-
των ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ' ἐμοῦ καὶ
κληθεὶς ξενοκτόνος οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ' ἀπε-
κρίνω, ἐφ' ᾧ ἀνεβόησεν ὁ δῆμος καὶ ὅσοι ξένοι πε-
ριέστασαν τὴν ἐκκλησίαν· ἔφησθα γὰρ τοὺς τῆς πόλεως
ἅλας περὶ πλείονος ποιήσασθαι τῆς ξενικῆς τραπέζης.*
25 *ἐπιστολὰς δὲ σιγῶ ψευδεῖς καὶ κατασκόπων συλλήψεις
καὶ βασάνους ἐπ' αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ μετά
τινων ἐν τῇ πόλει νεωτερίζειν βουλομένου. ἔπειτα ἐπε-* 617
*ρωτᾶν με, ὡς ἐγὼ πυνθάνομαι, μέλλει, τίς ἂν εἴη
τοιοῦτος ἰατρὸς, ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθε-
νοῦντι μηδὲν συμβουλεύοι, τελευτήσαντος δὲ αὐτοῦ
ἐλθὼν εἰς τὰ ἔνατα διεξίοι πρὸς τοὺς οἰκείους, ἃ ἐπιτη-* 618
26 *δεύσας ὑγιὴς ἂν ἐγένετο. σαυτὸν δ' οὐκ ἀντερωτᾷς,
τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος, ὅστις τὸν μὲν δῆμον
θωπεῦσαι δύναιτο, τοὺς δὲ καιροὺς, ἐν οἷς ἦν σώζε-
σθαι τὴν πόλιν, ἀποδοῖτο, τοὺς δ' εὖ φρονοῦντας κω-
λύοι διαβάλλων συμβουλεύειν, ἀποδρὰς δ' ἐκ τῶν κιν-
δύνων καὶ τὴν πόλιν ἀνηκέστοις κακοῖς περιβαλὼν ἀξιοῖ*

στεφανοῦσθαι ἐπ᾽ ἀρετῇ, ἀγαθὸν μὲν πεποιηκὼς μη-
δὲν, πάντων δὲ τῶν κακῶν αἴτιος γεγονὼς, ἐπερωτῴη
δὲ τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ᾽ ἐκεί-
νων τῶν καιρῶν, ὅτ᾽ ἐνῆν σώζεσθαι, διὰ τί αὐτὸν οὐκ
619 ἐκώλυσαν ἐξαμαρτάνειν, ἀποκρύπτοιτο δὲ τὸ πάντων 22
τελευταῖον, ὅτι τῆς μάχης ἐπιγενομένης οὐκ ἐσχολά-
ζομεν περὶ τὴν σὴν εἶναι τιμωρίαν, ἀλλ᾽ ὑπὲρ τῆς σω-
τηρίας τῆς πόλεως ἐπρεσβεύομεν· ἐπειδὴ δὲ οὐκ ἀπέ-
χρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς
καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν, ἐν-
ταῦθ᾽ ἐνέστην καὶ τὴν γραφὴν ἀπήνεγκα.

Καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, ὧν ἐγὼ πυν- 22
θάνομαι Δημοσθένην λέξειν, ἐφ᾽ ᾧ νυνὶ μέλλω λέγειν
620 ἀγανακτῶ μάλιστα. ἀφομοιοῖ γάρ μου τὴν φύσιν ταῖς
Σειρῆσιν, ὡς ἔοικε. καὶ γὰρ ὑπ᾽ ἐκείνων οὐ κηλεῖ-
σθαί φησι τοὺς ἀκροωμένους, ἀλλ᾽ ἀπόλλυσθαι, διό-
621 περ οὐκ εὐδοκιμεῖν τὴν τῶν Σειρήνων μουσικήν· καὶ
δὴ καὶ τὴν τῶν λόγων ἐμπειρίαν καὶ τὴν φύσιν μου
γεγενῆσθαι ἐπὶ βλάβῃ τῶν ἀκουόντων. καίτοι τὸν λό-
622 γον τοῦτον ὅλως μὲν ἔγωγε οὐδενὶ πρέπειν ἡγοῦμαι
περὶ ἐμοῦ λέγειν· τῆς γὰρ αἰτίας αἰσχρὸν τὸν αἰτιώμε-
νόν ἐστι τὸ ἔργον μὴ ἔχειν ἐπιδεῖξαι· εἰ δ᾽ ἦν ἀναγ- 22
καῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν ὁ λόγος, ἀλλ᾽ ἀν-
δρὸς στρατηγοῦ μεγάλα μὲν τῇ πόλει κατειργασμέ-
νου, λέγειν δὲ ἀδυνάτου καὶ τὴν τῶν ἀντιδίκων διὰ
τοῦτο ἐζηλωκότος φύσιν, ὅτι σύνοιδεν ἑαυτῷ μὲν οὐ-
δὲν ὧν διαπέπρακται δυναμένῳ φράσαι, τὸν δὲ κατή-
γορον ὁρᾷ δυνάμενον καὶ τὰ μὴ πεπραγμένα ὑφ᾽ αὐ-
τοῦ παριστάναι τοῖς ἀκούουσιν ὡς διῴκηκεν. ὅταν
δ᾽ ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος, καὶ τούτων
623 πικρῶν καὶ περιέργων, ἔπειτα ἐπὶ τὴν ἁπλότητα καὶ
τὰ ἔργα καταφεύγῃ, τίς ἂν ἀνάσχοιτο; οὗ τὴν γλῶτ-

ταν ὥσπερ τῶν αὐλῶν ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστιν.

30 *Θαυμάζω δ' ἔγωγε ὑμῶν, ὦ Ἀθηναῖοι, καὶ ζητῶ, πρὸς τί ἂν ἀποβλέποντες ἀποψηφίσαισθε τὴν γραφήν. πότερον ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ' οὐδεμία πώποτε γνώμη παρανομωτέρα γεγένηται. ἀλλ' ὡς ὁ τὸ ψήφισμα γράψας οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἄρ' εἰσὶ παρ' ὑμῖν εὔθυναι βίου, εἰ τοῦτον ἀφήσετε. ἐκεῖνο δ' οὐ λυπηρὸν, εἰ πρότερον μὲν ἐνεπίμπλατο ἡ ὀρχήστρα χρυσῶν στεφάνων, οἷς ὁ δῆμος ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι τὴν ἡμέραν, ἐκ δὲ τῶν Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκή-*

31 *ρυκτοι γίγνεσθε, οὗτος δὲ κηρυχθήσεται; καὶ εἰ μέν* 624 *τις τῶν τραγικῶν ποιητῶν τῶν μετὰ ταῦτα ἐπεισαγόντων ποιήσειεν ἐν τραγῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον, οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν Ὅμηρος ἄνανδρον αὐτὸν εἶναι καὶ συκοφάντην· αὐτοὶ δ' ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν Ἑλλήνων δόξαις συρίττεσθαι; οἱ μὲν γὰρ πατέρες ὑμῶν τὰ ἔνδοξα καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ, τὰ δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας τοὺς φαύλους ἔτρεπον· Κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους περιθεῖναι τῷ δή-*

32 *μῳ. καὶ φατὲ μὲν εὐτυχεῖς εἶναι, ὡς καὶ ἐστὲ καλῶς ποιοῦντες, ψηφιεῖσθε δ' ὑπὸ μὲν τῆς τύχης ἐγκαταλελεῖφθαι, ὑπὸ Δημοσθένους δὲ εὖ πεπονθέναι; καὶ τὸ* 625 *πάντων ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις τοὺς μὲν τὰς τῶν δώρων γραφὰς ἁλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν κριτὰς τοὺς ἐκ τῶν Διονυσίων,*

αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ δήμῳ, ἃ σωφρονῶν οὐκ ἐδέξατο. ὁ δὲ κομίζων ἦν τὸ χρυσίον καιρὸς καὶ φόβος καὶ χρεία συμμάχων. τὸ δὲ αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργάζετο. σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λέγων, τὰ δ' ἑβδομήκοντα τάλαντα ὑποσιωπᾷς, ἃ προλαβὼν τοῦ βασιλικοῦ χρυσίου ἀπεστέρησας. οὐ δι' ἔνδειαν μὲν χρημάτων ἕνεκα 24
πέντε ταλάντων οἱ ξένοι τοῖς Θηβαίοις τὴν ἄκραν οὐ παρέδοσαν; διὰ ἐννέα δὲ τάλαντα ἀργυρίου πάντων Ἀρκάδων ἐξεληλυθότων καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄντων βοηθεῖν ἡ πρᾶξις οὐ γεγένηται; σὺ δὲ πλουτεῖς καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς. καὶ τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ, οἱ δὲ
634 κίνδυνοι παρ' ὑμῖν.

Ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν θεωρῆ- 24
σαι. εἰ γὰρ τολμήσει Κτησιφῶν μὲν Δημοσθένην παρακαλεῖν λέξοντα εἰς ὑμᾶς, οὗτος δ' ἀναβὰς ἑαυτὸν ἐγκωμιάσει, βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε τὸ ἀκρόαμα γίγνεται. ὅπου γὰρ δὴ τοὺς μὲν ὄντως ἄνδρας ἀγαθούς, οἷς πολλὰ καὶ καλὰ σύνισμεν ἔργα, ἐὰν τοὺς καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν· ὅταν δὲ ἄνθρωπος αἰσχύνη τῆς πόλεως γεγονὼς ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν ἀκούων;

Ἀπὸ μὲν οὖν τῆς ἀναισχύντου πραγματείας, ἐὰν 24
σωφρονῇς, ἀποστήσει, ποίησαι δέ, ὦ Κτησιφῶν, διὰ σαυτοῦ τὴν ἀπολογίαν. οὐ γὰρ δή που τοῦτό γε σκήψει, ὡς οὐ δυνατὸς εἶ λέγειν. καὶ γὰρ ἄτοπόν σοι συμβαίνει, εἰ πρῴην μέν ποθ' ὑπέμεινας πρεσβευτὴς ὡς Κλεοπάτραν τὴν Φιλίππου θυγατέρα χειροτονεῖσθαι
635 συναχθεσθησόμενος ἐπὶ τῇ τοῦ Μολοττῶν βασιλέως Ἀλεξάνδρου τελευτῇ, νυνὶ δὲ οὐ φήσεις δύνασθαι λέ-

γειν. ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δύνα-
σαι παραμυθεῖσθαι, γράψας δὲ μισθοῦ ψήφισμα οὐκ
243 ἀπολογήσει; ἢ τοιοῦτός ἐστιν ὃν γέγραφας στεφανοῦ-
σθαι, οἷος μὴ γιγνώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων,
ἂν μή τις σοι συνείπῃ; ἐπερώτησον δὴ τοὺς δικαστὰς,
εἰ ἐγίγνωσκον Χαβρίαν καὶ Ἰφικράτην καὶ Τιμόθεον,
καὶ πυθοῦ παρ' αὐτῶν, διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδο-
σαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες γὰρ ἅμα σοι
ἀποκρινοῦνται, ὅτι Χαβρίᾳ μὲν διὰ τὴν περὶ Νάξον
ναυμαχίαν, Ἰφικράτει δὲ, ὅτι μόραν Λακεδαιμονίων
ἀπέκτεινε, Τιμοθέῳ δὲ διὰ τὸν περίπλουν τὸν εἰς Κέρ- 636
κυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ
244 πόλεμον ἔργα πέπρακται. Δημοσθένει δ' ἐάν τις ἐρω-
τᾷ διὰ τί οὐ δώσετε; ὅτι δωροδόκος, ὅτι δειλὸς, ὅτι τὴν
τάξιν ἔλιπε. καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐ-
τοὺς ἀτιμάσετε καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευ-
τήσαντας; οὓς νομίζεθ' ὁρᾶν σχετλιάζοντας, εἰ οὗτος
στεφανωθήσεται. καὶ γὰρ ἂν εἴη δεινὸν, ὦ Ἀθηναῖοι,
εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ
ἄφωνα καὶ τὰ ἀγνώμονα, ἐάν τῳ ἐμπεσόντα ἀποκτεί-
νῃ, ὑπερορίζομεν, καὶ ἐάν τις αὑτὸν διαχρήσηται, τὴν
χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτο- 637
245 μεν, Δημοσθένην δὲ, ὦ Ἀθηναῖοι, τὸν γράψαντα μὲν
τὴν πανυστάτην ἔξοδον, προδόντα δὲ τοὺς στρατιώ-
τας, τοῦτον ὑμεῖς τιμήσετε. οὐκοῦν ὑβρίζονται μὲν οἱ
τελευτήσαντες, ἀθυμότεροι δὲ οἱ ζῶντες γίγνονται
ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον, τὴν
δὲ μνήμην ἐπιλείπουσαν. τὸ δὲ μέγιστον, ἐὰν ἐπερω-
τῶσιν ὑμᾶς οἱ νεώτεροι, πρὸς ποῖον χρὴ παράδειγμα
246 αὑτοὺς τὸν βίον ποιεῖσθαι, τί κρινεῖτε; εὖ γὰρ ἴστε,
ὅτι οὐχ αἱ παλαῖστραι οὐδὲ τὰ διδασκαλεῖα οὐδ' ἡ μου-
σικὴ μόνον παιδεύει τοὺς νεωτέρους, ἀλλὰ πολὺ μᾶλ-

638 λον τὰ δημόσια κηρύγματα. κηρύττεταί τις ἐν τῷ θεάτρῳ, ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας καὶ εὐνοίας ἄνθρωπος ἀσχημονῶν τῷ βίῳ καὶ βδελυρός· ὁ δέ γε νεώτερος ταῦτ' ἰδὼν διεφθάρη. δίκην τις δέδωκε πονηρὸς καὶ πορνοβοσκὸς, ὥσπερ Κτησιφῶν· οἱ δέ γε ἄλλοι πεπαίδευνται. τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων ἐπανελθὼν οἴκαδε παιδεύει τὸν υἱόν· ὁ δέ γε εἰκότως οὐ πείθεται, ἀλλὰ τὸ νουθετεῖν ἐνταῦθα ἐνοχλεῖν ἤδη καὶ δικαίως ὀνομάζεται. ὡς οὖν μὴ μόνον κρίνοντες, ἀλλὰ καὶ θεω- 247
ρούμενοι, οὕτω τὴν ψῆφον φέρετε, εἰς ἀπολογισμὸν τοῖς νῦν μὲν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ ὑμᾶς, τί ἐδικάζετε. εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι
639 τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος· ἔστι δὲ ὄνειδος μὴ τοῖς προγόνοις ὑμᾶς, ἀλλὰ τῇ Δημοσθένους ἀνανδρίᾳ προσεικασθῆναι. πῶς
οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι; ἐὰν τοὺς 248
προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι, φυλάξησθε. ἡ γὰρ εὔνοια καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ, φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ
ὡς ἐπὶ πολὺ οἱ τοῖς ἔργοις πλεῖστον ἀπέχοντες. ὅταν 249
οὖν λάβητε ῥήτορα ξενικῶν στεφάνων καὶ κηρυγμάτων ἐν τοῖς Ἕλλησιν ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν
641 κελεύετε τὸν λόγον, ὥσπερ καὶ τὰς βεβαιώσεις τῶν κτημάτων ὁ νόμος κελεύει ποιεῖσθαι, εἰς βίον ἀξιόχρεων καὶ τρόπον σώφρονα. ὅτῳ δὲ ταῦτα μὴ μαρτυρεῖται, μὴ βεβαιοῦτε αὐτῷ τοὺς ἐπαίνους, καὶ τῆς δη-
μοκρατίας ἐπιμελήθητε ἤδη διαφευγούσης ὑμᾶς. ἢ οὐ 250
δεινὸν δοκεῖ ὑμῖν εἶναι, εἰ τὸ μὲν βουλευτήριον καὶ ὁ δῆμος παροράται, αἱ δ' ἐπιστολαὶ καὶ πρεσβεῖαι ἀφικνοῦνται εἰς ἰδιωτικὰς οἰκίας, οὐ παρὰ τῶν τυχόντων

ἀνθρώπων, ἀλλὰ παρα τῶν πρωτευόντων ἐν τῇ Ἀσίᾳ 642
καὶ τῇ Εὐρώπῃ; καὶ ἐφ' οἷς ἐστιν ἐκ τῶν νόμων ζημία
θάνατος, ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ'
ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς ἐπιστολὰς ἀλλήλοις
παραναγιγνώσκουσιν, καὶ παρακελεύονται ὑμῖν οἱ
μὲν βλέπειν εἰς τὰ ἑαυτῶν πρόσωπα ὡς φύλακες τῆς
δημοκρατίας, ἕτεροι δ' αἰτοῦσι δωρεὰς ὡς σωτῆρες τῆς
151 πόλεως ὄντες. ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν συμβε-
βηκότων ὥσπερ παραγεγηρακὼς ἢ παρανοίας ἑαλω-
κὼς αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας περιποιεῖ-
ται, τῶν δ' ἔργων ἑτέροις παρακεχώρηκεν. ἔπειτ' ἀπέρ-
χεσθε ἐκ τῶν ἐκκλησιῶν οὐ βουλευσάμενοι, ἀλλ' ὥσπερ
152 ἐκ τῶν ἐράνων, τὰ περιόντα νειμάμενοι. ὅτι δ' οὐ λη- 643
ρῶ, ἐκεῖθεν τὸν λόγον θεωρήσατε. ἐγένετό τις, ἄχθο-
μαι δὲ πολλάκις μεμνημένος τὰς ἀτυχίας τῆς πόλεως,
ἐνταῦθ' ἀνὴρ ἰδιώτης, ὃς ἐκπλεῖν μόνον εἰς Σάμον
ἐπιχειρήσας ὡς προδότης τῆς πατρίδος αὐθημερὸν
ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη.
ἕτερος δ' ἰδιώτης ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν φόβον
ἀνάνδρως ἤνεγκε, πρῴην ποτὲ εἰσηγγέλθη καὶ ἴσαι αἱ
ψῆφοι αὐτῷ ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν, ὑπερ- 644
53 ώριστ' ἂν ἢ ἀπέθανεν. ἀντιθῶμεν δὴ τὸ νῦν γιγνό-
μενον. ἀνὴρ ῥήτωρ, ὁ πάντων τῶν κακῶν αἴτιος, ἔλιπε
μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πό-
λεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι οἴ-
εται δεῖν. οὐκ ἀποπέμψετε τὸν ἄνθρωπον ὡς κοινὴν
τῶν Ἑλλήνων συμφοράν; ἢ συλλαβόντες ὡς λῃστὴν
τῶν πραγμάτων, ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέ-
54 οντα, τιμωρήσεσθε; καὶ τὸν καιρὸν μὴν μνήσθητε, 645
ἐν ᾧ τὴν ψῆφον φέρετε. ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ
Πύθια γίγνεσθαι καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων
συλλέγεσθαι· διαβέβληται δ' ἡμῶν ἡ πόλις ἐκ τῶν

Δημοσθένους πολιτευμάτων περὶ τοὺς νῦν καιρούς·
δόξετε δ', ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες
εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην, ἐὰν δὲ
τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον
τῶν αἰτιῶν.

Μὴ οὖν ὡς ὑπὲρ ἀλλοτρίας, ἀλλ' ὡς ὑπὲρ οἰκείας 25
τῆς πόλεως βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε.
ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ
ἀξιολογωτέρους ἄνδρας ἀπόθεσθε, καὶ μὴ μόνον τοῖς
ὠσίν, ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς
αὐτοὺς βουλεύσασθε, τίνες ὑμῶν εἰσιν οἱ βοηθήσον-
τες Δημοσθένει, πότερον οἱ συγκυνηγέται, ἢ οἱ συγ-
646 γυμνασταὶ αὐτοῦ, ὅτ' ἦν ἐν ἡλικίᾳ. ἀλλὰ μὰ τὸν Δία
τὸν Ὀλύμπιον οὐχ ὗς ἀγρίους κυνηγετῶν οὐδὲ τῆς
τοῦ σώματος εὐεξίας ἐπιμελόμενος, ἀλλ' ἐπασκῶν τέ-
χνας ἐπὶ τοὺς τὰς οὐσίας κεκτημένους διαγεγένηται.
ἀλλ' εἰς τὴν ἀλαζονείαν ἀποβλέψαντες, ὅταν φῇ Βυ- 25
ζαντίους μὲν ἐκ τῶν χειρῶν πρεσβεύσας ἐξελέσθαι τοῦ
Φιλίππου, ἀποστῆσαι δὲ Ἀκαρνᾶνας, ἐκπλῆξαι δὲ Θη-
647 βαίους δημηγορήσας· οἴεται γὰρ ὑμᾶς εἰς τοσοῦτον
εὐηθείας ἤδη προβεβηκέναι, ὥστε καὶ ταῦτα ἀναπει-
σθήσεσθαι, ὥσπερ Πειθὼ τρέφοντας, ἀλλ' οὐ συκο-
φάντην ἄνθρωπον ἐν τῇ πόλει. ὅταν δ' ἐπὶ τελευτῆς 25
ἤδη τοῦ λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωρο-
δοκημάτων αὐτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ
τοῦ βήματος, οὗ νῦν ἑστηκὼς ἐγὼ λέγω, ἀντιπαρατε-
ταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν τοὺς τῆς πό-
λεως εὐεργέτας, Σόλωνα μὲν τὸν καλλίστοις νόμοις
κοσμήσαντα τὴν δημοκρατίαν, ἄνδρα φιλόσοφον καὶ
νομοθέτην ἀγαθόν, σωφρόνως, ὡς προσῆκεν αὐτῷ,
δεόμενον ὑμῶν μηδενὶ τρόπῳ τοὺς Δημοσθένους λό-
γους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν

158 νόμων, Ἀριστείδην δὲ τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, οὗ τελευτήσαντος τὰς θυγατέρας ἐξέδωκεν ὁ δῆμος, σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ καὶ ἐπερωτῶντα, εἰ οὐκ αἰσχύνεσθε, εἰ οἱ μὲν πατέρες ὑμῶν Ἄρθμιον τὸν Ζελείτην κομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἐπιδημήσαντα εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ δήμου τῶν Ἀθηναίων, παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν δ' ἐκ τῆς πόλεως καὶ ἐξ ἁπάσης ἧς Ἀθηναῖοι ἄρχουσιν, ὑμεῖς
159 δὲ Δημοσθένην, οὐ κομίσαντα τὸ ἐκ Μήδων χρυσίον, ἀλλὰ δωροδοκήσαντα καὶ ἔτι καὶ νῦν κεκτημένον, χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν. Θεμιστοκλέα δὲ καὶ 648
τοὺς ἐν Μαραθῶνι τελευτήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς καὶ αὐτοὺς τοὺς τάφους τοὺς τῶν προγόνων οὐκ οἴεσθε στενάξειν, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπράττειν στεφανωθήσεται;

160 Ἐγὼ μὲν οὖν, ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ σύνεσις καὶ παιδεία, ᾗ διαγιγνώσκομεν τὰ καλὰ καὶ τὰ αἰσχρὰ, βεβοήθηκα καὶ εἴρηκα. καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην, εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων καὶ ἐκ τῶν παραλελειμμένων αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

[ΑΙΣΧΙΝΟΥ] ΕΠΙΣΤΟΛΑΙ

1.

656 ## ΦΙΛΟΚΡΑΤΕΙ.

Λύσαντες ἐκ Μουνυχίας ἑσπέρας λαμπρῷ σφο-
657 *δρα Σκίρωνι περὶ μέσην ἡμέραν κατήχθημεν εἰς Κο-*
658 *ρησσὸν τὴν Κείων. καθίσαντες δὲ ἡμέρας ἐννέα, καὶ*
γὰρ ἦν ἄνεμος ἐναντίος, εἶτα ἑσπέρας λύσαντες ἅμα
τῇ ἕῳ εἰς Δῆλον ἤλθομεν. Δήλιοι δὲ ἐνόσουν λοιμώδη 2
τινὰ νόσον· τὰ μὲν πρόσωπα ἐπίμπλαντο λεύκης καὶ
τὰς τρίχας λευκοὶ ἐγίγνοντο, ὁ δὲ τράχηλος καὶ τὰ
στέρνα ἀνῴδει, πυρετοὶ δ' οὐκ ἐγίγνοντο οὐδὲ ἀλγη-
δόνες μεγάλαι, οὐδὲ τὰ κάτω μέρη παρήλλαττεν οὐδέν
τι. ταῦτα δ' ἐπείθοντο κατὰ μῆνιν Ἀπόλλωνος αὐτοῖς
659 *συμβεβηκέναι, ταφέντος ἐν τῇ νήσῳ τινὸς τῶν ἐπιφα-*
νῶν, οὐ πρότερον εἰωθός· ἐκ τούτου προσβαλεῖν αὐ-
τοῖς τὸν θεὸν τὴν νόσον ταύτην ὑπελάμβανον. ἡμεῖς 3
δὲ ὥσπερ εἴς τι ἔθνος ἀλλόφυλον ἢ νῆσον ἐν τῇ ἔξω
θαλάσσῃ ἀφιγμένοι, καὶ ἰδόντες ἐξαίφνης ποικίλους
ἀνθρώπους, νυκτὸς ἔτι ἀποφεύγοντες ᾠχόμεθα, πυν-
θανόμενοι ἀλλήλων κατὰ τὸν πόρον, εἰ τὸ χρῶμα ἔχει
ἕκαστος οἷον ἐκόμιζεν οἴκοθεν, καὶ τὰς τρίχας. ζάλη
660 *δὲ καὶ ἄνεμος ἐξώστης ἐμπεσὼν ἀπήνεγκεν ἡμᾶς ὑπὲρ*
Κρήτην πλησίον Ψαμαθοῦντος. ὡς δὲ ἐν συνόπτῳ 4
ἦμεν ἤδη, ἀντιπνεῖ πνεῦμα Λιβυκόν. εἶτα πνεύσαν-
τος ἡμῖν ἀπ' ἄρκτου πάλιν πέντε νύκτας ἐν θαλάττῃ
ἐφερόμεθα, ἐν αἷς προσέσχομεν Ἀθρώνῃ, ἵνα μάθω-
μεν μὴ πολυπραγμονεῖν, εἴ τις ἐν τῇ ἑαυτοῦ πατρίδι
κατὰ τοὺς νόμους ἢ μὴ στεφανοῦται. κἀκεῖθεν τέτ-

ταρσιν ἡμέραις ἀφικόμεθα εἰς ἐπίνειόν τι τῆς Ῥοδίας, 661
ὅπου νοσῆσαί μοι συνέβη τὴν περὶ τὸ ἆσθμα νόσον.
ὡς δὲ ἐπιμείναντος αὐτόθι οὐκ ἐνεδίδου ἡ νόσος, διέ-
πλευσα εἰς Ῥόδον, καὶ ἐδέξατο ἡμᾶς εὐμενῶς ὁ τόπος·
εὐθὺς γὰρ ὡς ἀφικόμην, πολὺ ῥᾴων ἐγενόμην. καὶ
ταυτὶ μὲν ἔχομέν σοι τέως ἐπιστέλλειν· τὰ δ' ἄλλα ὡς
ἂν ἕκαστα συμβαίνῃ, δηλώσομεν. εὐτύχει, καὶ μὴ πο-
λιτεύου μηδὲ πρόσκρουε μήτε τοῖς πλέον σοῦ μήτε τοῖς
ἔλαττον δυναμένοις.

2.

ΚΤΗΣΙΦΩΝΤΙ.

Ἐπέστειλεν ἡμῖν Νικόστρατος ὁ πρὸς μητρὸς θεῖ-
ος, ὡς ἐπηρεάζεις μὲν εἰς αὐτὸν οὐ μετρίως, ἐμοὶ δὲ
ὀνειδίζεις τὴν διὰ σέ μοι συμβᾶσαν συμφοράν. ἐγὼ
δὲ θαυμάζω, τί παθὼν ἐξιοῦσι μὲν οἴκοθεν ἡμῖν το-
σαῦτα διελέχθης, ὥστε πεισθῆναί με μηδὲν ὧν διελέ-
χθης πεπλάσθαι σε μηδ' ἄλλως φρονεῖν, βλέποντα 662
πρῶτον μὲν εἰς τὴν ἐμὴν συμφοράν, ἣν οὐκ ἀπεικὸς
εἶναι καὶ τοὺς ἐχθροὺς ἐλεεῖν ὑπελάμβανον, ἔπειτα δὲ
2 εἰς τὸ σκυθρωπόν σου καὶ ὅμοιον δεδακρυμένῳ· ὥστ' 663
ἔγωγε καὶ ἐπέσκηψα ἐνίοις τῶν προσηκόντων ἡμῖν, εἴ
του δέοιντο, προσιέναι σοι, καὶ μηδενὸς ὑστερήσειν
ὑπεσχόμην αὐτοῖς, καὶ αὐτὸς δὲ ἐπέστειλα περὶ ὧν
ἐχρημάτιζον Ἀθήνησί μοι γενέσθαι πολλάκις· νῦν
δ' οὔτ' ἐμποδὼν ἔτι οὖσιν ἡμῖν οὔτε διοχλοῦσι σοὶ
οὐδ' ἄλλῳ τινὶ Ἀθηναίων ἐπηρεάζεις, καὶ οὔτε εἰς τὴν
τύχην ἀποβλέπεις οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπίνων,
ἀλλ' ἐπαγωνίζῃ ἔτι καὶ ἐκπεπτωκόσι τῆς πατρίδος καὶ
ἀπεστερημένοις ἐπιτιμίας καὶ πόλεως καὶ πολιτῶν καὶ
3 φίλων. καὶ ὅσα μὲν εἰς ἐμὲ ἀπόντα ἐβλασφήμεις, σοὶ 664
μὲν ἴσως φέροι ἄν τινα εἰκότως καὶ φθόνον καὶ μῖσος,

ὥσπερ ἂν εἴ τινα τῶν τεθνεώτων ἐπιβάλλοιο βλασφη-
μεῖν, ἐν οὕτω χρηστῇ τε καὶ φιλανθρώπῳ πόλει· ἐγὼ
δὲ οὐκ ἂν διὰ ταῦτα φαυλότερος νομισθείην, ἀπὼν
ὑπὸ σοῦ λοιδορούμενος, ἀτυχέστερος μέντοι καὶ ἐλεει-
νότερος ἴσως, ὃς ποτὲ μὲν οὐδενὸς ἥττων, νῦν δὲ οὐ-
δεμίαν ὑπὲρ αὐτοῦ φωνὴν ἐκπέμπειν, ἀλλ' οὐδὲ ἀκού-
ειν λοιδορούμενος δύναμαι. τὸ δὲ γέροντα ἐπιεικῆ 4
ὑβρίζεσθαι, μηδεμίαν ἐλπίδα ἔτι ἔχοντα τοῦ δυνήσε-
σθαί ποτε ἀμύνασθαι, ὅς γε τὴν σύμπασαν ἐλπίδα
665 ἐφ' ἡμῖν αὐτοῖς ἀκμὴν ἔχει τοῖς μηδ' αὐτοὺς σώζειν ἔτι
δυναμένοις, πῶς οὐκ αἰσχρόν ἐστιν; ἀλλὰ μὴ πρὸς 5
Διός, μὴ σύ γε, ὦ Κτησιφῶν, μηδὲ εἰ τὰ μάλιστα
ἡμᾶς ἀνιᾶν ἔτι βούλει καὶ εἰ μὴ πεπλήρωκέ σε μηδὲν
τῶν ἡμετέρων κακῶν, μίασμα τοῦτο προσθῇς αὐτῷ
τε καὶ τοῖς παισὶν, οὓς τρέφεις βοηθοὺς ἔσεσθαι δη-
λονότι τοῦ γήρως σου προσδοκῶν. καὶ μέμνησο, ὅτι
οὐδὲ Αἰσχίνης εἰς τοῦτό ποτε ἀφίξεσθαι ἤλπισεν,
οὐδ' ἄλλοι πολλοὶ καὶ ἔτι μᾶλλον ἀκμάσαντες ἐν τῇ
ἑαυτῶν πόλει καὶ πολλῷ λαμπρότεροι ἐμοῦ τε καὶ σοῦ
γενόμενοι.

3.

666 Οἱ μὲν ἄλλοι πάντες, ὅσοι φεύγουσιν ἀδίκως, ἢ
δέονται τῶν πολιτῶν, ὅπως ἐπανέλθωσιν, ἢ διαμαρ-
τόντες τούτου λοιδοροῦσι τὰς ἑαυτῶν πατρίδας ὡς
φαύλως αὐτοῖς προσφερομένας· ἐγὼ δὲ ἐπείπερ ἀνα-
ξίως ὧν ἐπολιτευσάμην ἠτύχησα καὶ κατηγορῶν ἄλ-
λων αὐτὸς ἑάλων, ἄχθομαι μὲν, ὥσπερ εἰκός ἐστιν,
ἀγανακτῶ δὲ οὐδέν. οὐ γὰρ οὕτως ἔγωγε ἠλίθιός εἰμι, 2
ὥστε, ἐξ ἧς πόλεως ὁ Θεμιστοκλῆς ὁ τὴν Ἑλλάδα ἐλευ-
θερώσας ἐξηλάθη, καὶ ὅπου Μιλτιάδης, ὅτι μικρὸν
ὦφλε τῷ δημοσίῳ, γέρων ἐν τῷ δεσμωτηρίῳ ἀπέθανε,

ταύτῃ τῇ πόλει Αἰσχίνην τὸν Ἀτρομήτου φεύγοντα
ἀγανακτεῖν οἴεσθαι δεῖν, εἴ τι τῶν εἰωθότων Ἀθήνη- 667
3 σιν ἔπαθεν. ἀλλ᾽ ἔγωγε καὶ λαμπρὸν εἰκότως μοι νο-
μίσαιμ᾽ ἂν αὐτὸ γενέσθαι, τὸ μετ᾽ ἐκείνων ἐν ἀδοξίᾳ
παρὰ τοῖς ἔπειτα ἀνθρώποις καὶ ἄξιος τοῦ ὅμοια πα-
θεῖν ἐκείνοις γεγονέναι.

4.

Ἐπεὶ δοκεῖ σοι πυνθάνεσθαι περὶ Κλεοκράτους,
ὅστις ἐστὶν ὁ Κλεοκράτης, ἄκουε· παύσῃ γὰρ οὐ προῖ-
κα πολυπραγμονῶν, οὐδ᾽ ἄπει πρὶν μακρᾶς ἀκοῦσαι
διηγήσεως. τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνδρῶν
Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις, Ἀρίφρονα τὸν ἐκ Δα-
μαγήτου εἴ που πυνθάνοιο, ὃν καὶ ὁ μέγας αἴρει Πίν- 668
δαρος. ἀλλ᾽ ὅπως μὴ γέλωτα ὀφλισκάνῃς ζητῶν, ὅστις
2 ἐστὶν ὁ Πίνδαρος. τουτὶ μὲν γὰρ οἶμαι ὅτι καὶ παρὰ
Μαντίᾳ τῷ γραμματιστῇ ἅμα ἐμοί ποτε ἔμαθες τὸ
γράμμα· καὶ εἰ μηδενὸς ἔτι τῶν παρὰ Μαντίᾳ μνημο-
νεύεις, ἐν γοῦν ταῖς ἐκκλησίαις Μελανώπου ἑκάστοτε
ἀκούεις λέγοντος „ὦ ταὶ λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος
3 ἔρεισμ᾽ Ἀθᾶναι," καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου τοῦτο 669
τὸ ἔπος ἐστὶ, λέγοντος, καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι
τοῦτο ποιήσαντα τὸ ἔπος, οἱ δὲ ἡμέτεροι πρόγονοι δι-
πλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν μετὰ τοῦ καὶ εἰκόνι
χαλκῇ τιμῆσαι· καὶ ἦν αὕτη καὶ εἰς ἡμᾶς ἔτι, πρὸ τῆς
βασιλείου στοᾶς, καθήμενος ἐνδύματι καὶ λύρᾳ ὁ Πίν-
δαρος, διάδημα ἔχων καὶ ἐπὶ τῶν γονάτων ἀνειλιγμέ-
4 νον βιβλίον. οὗτος δὴ ὁ Πίνδαρος Δαμάγητον ᾄδει
ἐκεῖνον, εἰς ὃν ἀνατείνει τὸ Κλεοκράτους γένος. λέγει
δέ που ὁ αὐτὸς Πίνδαρος καὶ τὰ περὶ τοὺς Διαγορείους
καὶ τὰ περὶ τὴν πρεσβῦτιν, ἧς τὸ μητρῷον αὐτοῦ γέ-
νος ἅπτεται. καὶ εἰ μὴ σφόδρα ᾔδειν ποιητῶν ὑπέρ-

φρονα ὄντα σε, καὶ τὰ ἀγοραῖα ταῦτα καὶ τὰ ἀπολέ-
σαντα ἡμᾶς ἐπιτηδεύματα μᾶλλον περιέποντα, κἂν
ἀποχρῆν ὑπελάμβανόν σε ὑπομνῆσαι μόνον τὰ περὶ
τοὺς Διαγορείους εἰπὼν ἔπη Πινδάρου· νῦν δὲ οἶδα,
ὅτι μάτην σοι ταύτην τὴν λύραν λέξομεν. δοκεῖ οὖν 5
670 μοι ἀνάγκη εἶναι διηγήσασθαί σοι τὸ διήγημα τοῦτο·
ἄξιον γὰρ ἀκοῦσαι, εἰ καὶ μὴ προσῆκον Κλεοκράτει. λέ-
γεται γὰρ γυνή ποτε πρεσβῦτις Ὀλυμπίασι παρελθοῦ-
σα εἰς τὸ στάδιον ἑστάναι τε ἅμα τοῖς ἀνδράσι καὶ θεᾶ-
σθαι τοὺς ἀγωνιζομένους, ἐπιστάντων δὲ αὐτῇ τῶν
Ἑλλανοδικῶν, ὅτι ἐτόλμησε παρελθεῖν εἰς τὸ στάδιον,
ἀποκρίνασθαι „τίνι γὰρ ἄλλῃ γυναικὶ τοῦτο δέδωκε
καυχήσασθαι οὕτως ὁ θεός, ὅτι καὶ πατέρα καὶ τρεῖς
ἀδελφοὺς Ὀλυμπιονίκας ἔχει καὶ υἱὸν ἐπ' Ὀλύμπια
ἄγει;“ ταύτης οὖν τῆς πρεσβύτιδος καὶ τούτου τοῦ γέ- 6
νους ἀπορρώξ ἐστιν ὁ Κλεοκράτης, ὡς ἔστι μᾶλλον
πάντων ἢ αὐτοῦ πυθέσθαι. καὶ πλείω μὲν οὐ βούλο-
μαι λέγειν, μὴ οὐ μηνῦσαί σοι, ὅπερ ἠξίωσας, ὅστις
ἐστὶν ὁ Κλεοκράτης, βούλεσθαι μόνον, ἀλλὰ καὶ ἐγκε-
671 κωμιακέναι αὐτόν, ὥσπερ καὶ Θρασύμαχος τὸν ξένον,
συντετάχθαι καὶ ἀποτίνειν ταύτην τὴν χάριν τοῦ λαμ-
πρῶς ἑστιᾶσθαι δοκῶ. τοσοῦτον μέντοι εἴποιμ' ἄν, ὅτι
ἡ πρεσβῦτις ἐκείνη, εἰ τοῦτον ἐγνώκει τὸν Κλεοκράτη,
πολὺ ἂν μᾶλλον ἐπὶ τούτῳ ἢ ἐπὶ τοῖς πέντε Ὀλυμπιο-
νίκαις ἐσεμνύνετο.

5.

Ὁ μὲν Ἰουλιάδης, ᾧ μάλιστ' ἐπεποίθεις, οὔτε ὅτε ἀφίγμεθα εἰς Ῥόδον παρὼν ἔτυχεν, ἀλλὰ περὶ Λίνδον ἦν, οὔτ' ἐπανελθὼν εἰς Ῥόδον περιττῶς ἠσμένισεν ἡμᾶς, ἔξω δὴ τοῦ τὰ κοινὰ ταῦτα προστάξαι, λέγειν, εἴ τινων χρῄζομεν. ὁ δὲ Κλεοκράτης, οὐδὲ μὰ τοὺς

θεοὺς ἐπιστεῖλαί σοι δυναίμην ἂν αὐτάρκως τὴν ὑπερ-
2 βολὴν τῆς φιλανθρωπίας, ὅσῃ κέχρηται περὶ ἐμέ. καὶ
γὰρ οἰκίαν δημοσίᾳ δοθῆναί μοι παρεσκεύασε καὶ χω-
ρίον ἐν Καμείρῳ, καὶ αὐτὸς δὲ ἔπεμψεν ἡμῖν τὰ ἐπιτή-
δεια καὶ εἰς ἐνιαυτὸν ἄφθονα, οὐκ ἐμοὶ μόνον, ἀλλὰ 672
καὶ Τεύθραντι καὶ Ὁπλιστίᾳ, τὰ μὲν ἄλλα εἰ καὶ φαυ-
λότερα τῶν Ἀθήνησιν, ὥσπερ ἔλαιον καὶ μέλι, ἀλλ'
οἵων παρόντων οὐδὲν ἂν τῶν ἐκεῖθεν δεηθείημεν, οἶ-
νόν γε μὴν καὶ πολὺ ἀμείνω τοῦ παρ' ὑμῖν, καὶ ἐκ
στροβίλου ἅμα καὶ ἀλεύρων καὶ ἀρωμάτων πεποιημέ-
3 να ἐν τύποις τραγήματα, ὧν καὶ πέπομφά σοι. ταῦτά
θ' ἡμῖν ἔπεμψε, καὶ πυρῶν μεδίμνους, ὅσοις ἐγὼ με-
δίμνοις οὐχ ὅπως ἐμαυτὸν, ἀλλὰ καὶ πάντας Κοθωκί-
δας διαρκεῖν ἂν ἐδυνάμην· καὶ πολλὰ δὲ ἄλλα πρὸς
τούτοις, ἃ γράφειν αἰσχύνομαι, ἵνα μή τινα δηλοῦν 673
ἐμὴν μικρολογίαν δόξω. τὸ μὲν γὰρ τὰ μικρὰ πάνυ
ὑπερασπάζεσθαι μικρολογίας μέν τινος εἶναί φημι καὶ
ἀπειροκαλίας, φιλοφρονημάτων δὲ καὶ μικρῶν πάνυ
4 ἔγωγε ἡττᾶσθαι ὁμολογῶ. παρέχει δὲ ἡμῖν καὶ ἄλλα
καλλίω, συῶν τε ἀγρίων καὶ δορκάδων τῶν πέραθεν
ἀπολαύσματα. ἔτι δὲ καὶ αὐτὸς ἡμῖν σύνεστιν ὁσημέραι,
καὶ μεταδίδωσι τῆς αὑτοῦ σοφίας, ἢ σοφωτέρα ἢ καθ'
ἡμᾶς ἐστιν. ἃ γὰρ ἐγὼ παθὼν ἐδιδάχθην, ταῦτα πρὶν
παθεῖν φυλάττεται, σοφίᾳ καὶ οὐχ ὥσπερ οἱ ἄφρονες
5 πείρᾳ διδασκόμενος· οὐ γὰρ πολιτεύεται. καὶ ὅσον
γ' ἐπὶ Κλεοκράτει, οὐδεμιᾶς πόλεως ἄλλης οὐδὲ ἀν-
θρώπων ἐπιθυμῶ, ἀλλὰ καὶ σφόδρα ἀσμενίζω τῇ συμ-
φορᾷ, καὶ ἀρχὴ δοκεῖ μοι τοῦ βίου ἡ ἀπαλλαγὴ τῆς αὐ-
τόθι πολιτείας. καὶ οὕτω μὲν ὑπεραγαπῶ τὰ παρόντα,
καὶ ὅπερ φασὶ Σοφοκλέα ἤδη γέροντα ὑπὲρ ἄλλης ἡδο-
νῆς εἰπεῖν, ὥσπερ κυνὸς λυττώσης ἀπηλλάχθαι ποτὲ 674
τῆς τοῦ πολιτεύεσθαι ἡδονῆς δοκῶ, καὶ ὅταν ὁ νοῦς

ἐπικρατῆ, τρισευδαίμων ἔγωγε ἐμαυτῷ τῆς φυγῆς, ἣν
φεύγω, φαίνομαι· ὅταν δ' αὖ πάλιν ὑπέλθῃ μοι λο- 6
γισμός τε καὶ μνήμη τῶν αὐτόθι, οὐχ ἑταίρων μόνον,
ἀλλὰ καὶ συγγενῶν καὶ ἐκκλησίας καὶ Κολλυτοῦ, ἐν ᾧ
πέντε καὶ τετταράκοντα ἔτη ᾤκησα, καὶ τοῦ Ἁλῆσι χω-
ρίου καὶ τῶν ἐκεῖ μοι μετὰ σοῦ καὶ Φιλίνου διατριβῶν
γενομένων, μεταρρεῖ ἅπαν τὸ αἷμα ἄλλοσέ ποι τῶν
σπλάγχνων πάλιν, καί μοι δήποτε καὶ λοιδορίαι, αἷς
ἐλοιδορούμην ὑπὸ Δημοσθένους, ἥδισται δοκοῦσι, καὶ
σκώμματα, ἐφ' οἷς οὐδεὶς ἔξω Κτησιφῶντος ἐγέλασε
πώποτε. ἀλλὰ γὰρ ἅλις μὲν ἡμῖν δακρύων, σὺ δ' εὐ- 7
τυχοίης, καὶ μὴ μόνον πολιτείαν ἅπασαν, ἀλλὰ καὶ
Λεπτίνην φεῦγε, ὅτι πρὸς ἡμᾶς ἔχει φιλαπεχθημόνως,
καὶ ὅτι τἆλλα τοιοῦτός ἐστιν, ὅτου περιεῖναι μὲν μη-
δὲν λαμπρότερον, ἡττᾶσθαι δὲ ἀδοξότατον. καὶ μά-
675 λιστα μὲν παραινῶ, φεῦγε τὰς μετ' αὐτοῦ διατριβάς·
εἰ δ' αὖ συνέλθοις ἐκ τύχης καὶ καθ' ἡμῶν λέγοι τι,
πειρῶ σιωπᾶν, ἂν ἰσχύῃς, καὶ γελᾶν. ἀλλ' ὁ μὲν δί- 8
δωσιν ἀποχρῶσαν δίκην τῷ πᾶσιν ἀνθρώποις καὶ γέ-
λωτος εἶναι δοκεῖν ἅμα καὶ μίσους ἄξιος· σὺ δὲ, εἰ μὴ
πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο παρ' ἡμᾶς ποτε,
καὶ παρασχὼν σεαυτὸν ἰδεῖν ἡμῖν ἐπανίοις πάλιν.

6.

ΦΙΛΟΚΡΑΤΕΙ.

Ἀρίστων οὗτος, ὁ κομίζων σοι τὴν ἐπιστολὴν, ὁ πρῶτός ἐστιν ἡμᾶς ὑποδεξάμενος ἐν Ῥόδῳ. πέπλευκε δὲ Ἀθήναζε κατὰ χρείαν κηδεστοῦ γέροντος, ἀργύριον εἰσπράξων παρὰ τοῦ τραπεζίτου Χαρμόλα. σκόπει οὖν, ὅπως αὐτὸν ὑποδέξῃ φιλοφρόνως· ἔστι δὲ κομιδῇ εὐτελὴς τὴν δίαιταν καὶ πρέπων ἡμῖν. ᾧ καὶ τὰ ἄλ-

λα συμπράξεις, ὡς μάθῃ, ὅτι οὐ παντελῶς ἔρημον φίλων ὑπέλαβεν, ἀλλ' ἔστιν ἔτι τις Ἀθήνησιν Αἰσχίνου λόγος καὶ μνήμη.

7.

ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ.

Ἐπυθόμην τὰ ῥηθέντα τῷ Μελανώπῳ πρὸς ὑμᾶς,
καὶ τὴν μὲν ὑμετέραν ἀπεδεξάμην φιλανθρωπίαν,
Μελανώπῳ δὲ οὐκ ἐπανελθὼν μόνον νομίζω τοῖς βε-
βιωμένοις αὐτῷ πρέπουσαν ἀποδώσειν χάριν, ἀλλὰ
τυχὸν ἔτι καὶ πατρίδος ἐστερημένος ὅμως ἀρκέσαι πει- 676
2 ράσομαι. ἐγὼ γάρ, ὦ Μελάνωπε, κατὰ μὲν τοὺς νό-
μους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ, φημὶ
μέντοι βοηθῶν ταῦτα τοῖς νόμοις πεπονθέναι, καὶ
ὑπὲρ τοῦ μηδένα στεφανοῦσθαι παρ' αὐτοὺς ἀγωνιζό-
μενος. ἐμοὶ μὲν οὖν τὸ δεδυστυχηκέναι πολιτευομένῳ
κοινόν ἐστι πρὸς Θεμιστοκλέα καὶ Ἀριστείδην καὶ ἄλ-
λους πολλοὺς τῶν λαμπροτάτων ποτὲ ἐν τῇ πόλει γε-
3 νομένων· σοὶ δὲ τὸ μὲν μέχρι χθὲς καὶ πρῴην θεσμο-
θετοῦντος ἤδη σοῦ προεστάναι τὴν μητέρα, τρὶς δὲ 677
ἐμπεσεῖν τὸν πατέρα σου εἰς τὸ δεσμωτήριον, σὲ δὲ
πραθέντα τρισχιλίων δραχμῶν τὴν ἀκμὴν ἡταιρηκέ-
ναι, τοῖς περὶ Τίμαρχον νέοις κοινὰ ταῦτ' εἶναι, οὐ
τοῖς περὶ Θεμιστοκλέα ἢ Ἀριστείδην τὸν δίκαιον ὑπο-
4 λαμβάνω. ἀλλὰ Μελανώπῳ μὲν αὖθις, ἐὰν ὑμῖν δο-
κῇ, διαλέξομαι παρών· ὑμῖν δὲ τῆς εὐνοίας, ἣν ἀπόν-
τι μοι παρέσχεσθε, θορυβοῦντες δὴ καὶ μὴ θέλοντες
ἀκροάσασθαι τῶν λοιδορούντων ἡμᾶς, πολλὴν χάριν
ἔχω, δικαιότερον μέντοι καὶ ἄμεινον ἐμὲ αὐτὸν ἐᾶσαι
πρὸς τοὺς λοιδοροῦντας λέγειν, ψηφισαμένους ἃ πολ-
λάκις πολλοῖς ἤδη ἐψηφίσασθε τὰ μέγιστα ἁμαρτοῦσιν
5 εἰς ὑμᾶς. εἰ δὲ μή, τό γε δεύτερον ἂν δεηθείην, ἀνέ-

λαμβάνω Καλλιρρόην Σκάμανδρος ὤν, καὶ πόλλ' ἀγα-
θὰ ποιήσωσοι." ταῦτα ἅμα λέγων καὶ ἁρπάσας τὴν
παῖδα ἀφανὴς γίνεται. οὐ μὴν καὶ τὸ πρᾶγμα ἀφανὲς 6
γίνεται, ἀλλὰ τέτταρσιν ὕστερον ἡμέραις πομπὴ μὲν
ἦν Ἀφροδίτης, ἐπόμπευον δὲ αἱ νεωστὶ γεγαμημέναι,
καὶ ἡμεῖς τὴν πομπὴν ἐθεώμεθα. ἡ δὲ νύμφη ἰδοῦσα
682 *τὸν Κίμωνα ὡς μηδὲν αὐτῷ κακὸν συνειδότα ἅμα ἐμοὶ*
θεώμενον, προσεκύνησε, καὶ ἀποβλέψασα εἰς τὴν τρο-
φὸν „ὁρᾷς" ἔφη, „τίτθη, τὸν Σκάμανδρον, ᾧ τὴν παρ-
θενίαν ἔδωκα;" καὶ ἡ τίτθη ἀκούσασα ἀνέκραγε, καὶ
τὸ πρᾶγμα ἔκπυστον γίνεται. ὡς δὲ οἴκαδε εἰσέρχομαι, 7
καταλαμβάνω τὸν Κίμωνα, καὶ οἷα ἦν εἰκὸς ἐργάζο-
μαι, καλῶν ἀνόσιον καὶ δι' αὐτὸν ἀπολωλέναι λέγων
ἡμᾶς. ὁ δὲ οὐδὲν δι' αὐτὸ ἔδεισεν, οὐδὲ ᾐσχύνθη τοῖς
πεπραγμένοις, ἀλλὰ μύθους ἐπεβάλλετο λέγειν μα-
κρούς, τοὺς ἁπανταχόθι τροχῶν ἄξια εἰργασμένους
καταριθμούμενος. καὶ γὰρ ἐν Μαγνησίᾳ τοῦτο περὶ 8
Μαίανδρον τὸν ποταμὸν ἔφη γεγονέναι ὑπό τινος τῶν
ἐκεῖ νέων, ἀφ' οὗ καὶ ἔτι σήμερον Ἄτταλον τὸν ἀθλη-
τὴν ὁ πατὴρ, ἔφη, αὐτοῦ οὐχ ἑαυτοῦ υἱὸν, ἀλλὰ τοῦ
Μαιάνδρου εἶναι πείθεται, καὶ διὰ τοῦτο αὐτὸν οὕτω
πάνυ νομίζει σαρκῶν τε καὶ ῥώμης εὖ ἔχειν· ἐπειδὰν
δὲ πολλὰς λαβὼν πληγὰς καὶ ἀπειπάμενος ἐξίῃ, τὸν
ϲυνομωμο[κυῖα εἴ]η πρὸϲ ἐμέ, πά[λιν δ]ὲ ἀκούων ἐμο[ῦ παρακελευομένο[υ αὐτῇ, ὅπωϲ ἐμμ[ενεῖ ἐν τοῖϲ ὅρκοιϲ οἷ[ϲ ὤμοϲεν, ἐλάμβανε[ν γυναῖκα; — καὶ ταῦ[τα δοκεῖ ἂν ὑμῖν ἢ [Αἴαϲ ἐκεῖνοϲ ὁ μαιν[όμενοϲ ποιῆϲαι [ἢ Μαργίτηϲ ὁ πάντ[ων ἀβελτερώτατοϲ; — [Ἀλλ' οἶμαι, ὦ ἄνδρε[ϲ δικαϲταί, πολλὰ πλεο- |

VII. νεκτοῦϲιν ἐν τοῖϲ ἀγῶϲιν οἱ κατήγοροι τῶν φευγόντων· οἱ μὲν γὰρ διὰ τὸ ἀκίνδυνον αὐτοῖϲ εἶναι τὸν ἀγῶνα ῥᾳδίωϲ ὅ τι ἂν βούλωνται λέγουϲι καὶ καταψεύδονται, οἱ δὲ κρινόμενοι διὰ τὸν φόβον πολλὰ καὶ τῶν πεπραγμένων αὐτοῖϲ εἰπεῖν ἐπιλανθάνονται· — ἔπειτα οἱ μὲν ἐπειδὰν πρότερον λόγον λάβωϲιν, οὐ μόνον ἃ ἔχουϲιν αὐτοὶ δίκαια περὶ τοῦ πράγματοϲ λέγουϲιν, ἀλλὰ ϲυϲκευάϲαντεϲ λοιδορίαϲ ψευδεῖϲ κατὰ τῶν κρινομένων ἐξιϲτᾶϲιν τῆϲ ἀπολογίαϲ, — ὥϲτε ϲυμβαίνειν αὐτοῖϲ δυοῖν τὸ ἕτερον, ἢ περὶ τῶν ἔξωθεν διαβολῶν |

VIII ἀπο[λογου]μένοιϲ τῆϲ [περὶ τοῦ] πράγματοϲ [ἀπολογία]ϲ ἀπολελ[εῖφθαι, — ἢ εἰ] μὴ μέμνη[νται περὶ] τῶν προκ[ατηγορηθ]έντων, ο[ὕτω δόξαν κ]ατα-

ϲυν. κτέ. — 16 rest. Sw. — 17 ἐμμένῃ Bb., ἐμμενεῖ Sw. in adn., K. — 20 cum aliquantum spatii supersit, Bb. ἐλ—ε τὴν restituit; ἐλ—ν' αὐτὴν K. Sw., qui tamen in addendis ἐλάμβανεν probat. Possis etiam ἐλ. ὅμωϲ. — 22 Ἡρ[ακλῆϲ Bb. in add., Sw., quod spatium egreditur, et ductus qui in A post H superest non P sed A vel O indicare videtur. Itaque ἢ Αἴαϲ conicit Sw. in scholiis. — 24 ἢ M. Sw.; ὁ M. Bb.

Col. VII. 4 ομεν A pr. — 14 επειταὶ A. — 16 πρότεροι Patakis. — 20 αλλαιϲυνϲκευ | A; ϲυνϲκ. retinet Sw. — 25 supra ε in A est ductus aliquis in hunc modum: c. — 27 et 28 in fine vs. ων compendio scr.

Col. VIII. 4 ἀπο|λελ[ῆϲθαι Bb.; ἀπο|λελ[εῖφθαι Sw. JBL. — 6 προϲκατηγ.? — 7 ο[ἴημα Bb.; ο[ἴηϲιν Sw.; at sic spatium non *expletur*. Neque magis sufficit coniectura K.: οἴ-

λείπ[εcθαι παρ]ὰ τοῖc δικαcτ[αῖc ὅτι] ἀληθῆ ἐcτιν [τὰ εἰρ]ημένα· — πρὸc δ[ὲ τού]τοιc τούc τε μέ[λλοντα]c βοηθεῖν το[ῖc φε]ύγουcι προδιαβ[άλλ]ουcι καὶ αὐτοῦ τ[οῦ κριν]ομένου τὴν [ἀπολο]γίαν διαcτρ[έφουcιν]· — οἷον καὶ ἀ[ρτίωc] οὑτοcὶ ἐνεχεί[ρηcε ποιεῖν ἐν τῇ κα[τηγορίᾳ· — καὶ οὐδ' ἀποδ[έχεcθαι ἐῶcι τῶν ἀ[ναβαινόντων ὑπέ[ρ τινοc καὶ cυναπολ[ογηcομένων — δι.......... μὴ ἀπο.......... πότερ' οὐ[κ ἔννομόν ἐ- |
IX cτι τοῖc κρινομένοιc τοὺc οἰκείουc καὶ τοὺc φίλουc βοηθεῖν, — ἢ ἔcτιν τι τῶν ἐν τῇ πόλει τούτων δημοτικώτερον, τοῦ τοὺc δυναμένουc εἰπεῖν τοῖc ἀδυνάτοιc τῶν πολιτῶν κινδυνεύουcι βοηθεῖν; cὺ δὲ οὐ μόνον περὶ τῶν cυνηγόρων τοὺc λόγουc πεποίηcαι, ἀλλὰ καὶ τὴν ἀπολογίαν τὴν ἐμὴν διατάττειc καὶ παραγγέλλειc τοῖc δικαcταῖc περὶ ὧν δεῖ αὐτοὺc ἀκούειν (καὶ) κελεύειν με ἀπολογεῖcθαι, καὶ περὶ ὧν μὴ ἐὰν λέγειν. — καὶ τοῦτο πῶc καλῶc ἔχει, cὲ μὲν ὅπωc ἠβούλου τὴν κατηγορίαν

εcθαι κατ. ἄρα τοῖc δ., qua reiecta ipse postea δόξαν καταλ. coniecit. — 8 καταλείπειν Bb. Sw. K. C.; quod spatio non prorsus sufficit. — 13 τοῖc φεύγουcι C.; π[ρὸc το]υτουcί Bb. Sw.; το[ῖc εἰ]cιοῦcι Sh. ap. JBL. — 18 [αὐτὸc] Bb. Sw. C., quod cum spatio minus convenit. — ουτοcϊ A. — 19 ἐνεχείρηcεν Sw.; ἐνεχ. ποιεῖν K. C. ἐν. νῦν Sh. — 20 τη A. — Sequentia K. ita restituit: οὐ|δ' ἀπολ[ογεῖcθαί τι|cι τῶν ἀ[ναγκαίων | τῶν ὑπὲ[ρ ἐμοῦ | cυναπολ[ογηcομέ|νων δι[δούc, ὧν δέομαι | μὴ ἀπο[λιπεῖν μ', ὁρᾶν δὲ | πότερ' οὐ[κ ἔξε|cτι κτέ. Sed ante, non post δι... v. 25 sententiam terminari spatium vacuum in A indicat. Itaque melius JBL: οὐδ' ἀποδέξεcθαί φηcι τῶν ἀπαντώντων ὑπὲρ ἐμοῦ cυναπολογηc.· διὰ τί δὴ ἀξιοῖc μὴ ἀποδέχεcθαι; πότερ' οὐκ ἔννομόν ἐcτι κτέ.

Col. IX. 6 τούτου corrigit Sw., ut in consimili loco pro Eux. col. 25; defendunt utrobique K. et C. — 20 ἀκούειν deleri iubet Sw.; K. et JBL καὶ inserunt, omissum a librario *propter consimilem sequentem syllabam.*

ποιήcαcθαι, προει- | X δότα δὲ ἃ ἔχω ἐγὼ δίκαια λέγειν πρὸc τὰ παρὰ coῦ ἐψευcμέ-να ὑφαιρεῖcθαί μου τὴν ἀπολογίαν; — καὶ ἐμὲ μὲν αἰτιᾷ ἐν τῇ εἰcαγγελίᾳ καταλύειν τὸν δῆμον παραβαί-ν[ον]τα τοὺc νόμουc, — αὐ[τὸc] δ' ὑπερπηδή-c[αc ἅπ]αντας τοὺc ν[όμο]υc εἰcαγγελί-α[ν δέδ]ωκαc ὑπὲρ ὧν [γρα]φαὶ πρὸc τοὺc θεc[μοθ]έταc ἐκ τῶν νό[μων] εἰcίν, ἵνα π[ρῶτον μ]ὲν ἀκίν-δ[υνοc εἰc]ίῃc εἰc τὸ[ν ἀγῶνα,] ἔπε[ιτ]α ἐξ[ῇ coι τραγ]ῳδίαc γρ[άψαι εἰc τὴ]ν εἰcαγ-γελ[ίαν οἵαc]περ νῦν γέγρ[αφαc, — ὅc μ' α]ἰτιᾷ ὅτι τ[αύτην τὴν γ]υ-να[ῖκα....... ἄ-γαμ[ον ἔνδον κα]τα-γηρ[άcκειν]...αc δε c.........c |

XI οὐ προcήκει παρὰ τοὺc νόμουc. οὐκοῦν ἄλλην μὲν οὐδε-μίαν τῶν ἐν τῇ πό-λει γυναῖκα ἔχειc εἰπεῖν, ᾗτινι ἐγὼ τούτων αἴτιόc εἰμι, περὶ ἧc δὲ νῦν τὴν κατηγορίαν πεποίη-cαι, πότερα ᾤου προc-ήκειν cυνοικεῖν ἐκ-δεδομένην Χαρίπ-πῳ, ἑνὶ τῶν πολι-

---

Col. X. 1 εχωι A. — 6 εν primo omissum a corr. demum additum. — 7 ειcαγγελια A. — 11 πάντας Bb. Sw. C. — ἅπαντας τοὺc π[ατρίουc Sh., cum revera ductus ille non magis N quam Π indicare videatur. — Quae sequuntur usque ad v. 20 Bb. restituit; deinde scripsit: ἐξιῇc τραγῳδίαc γράφων τὴν εἰc. ὥcπερ νῦν γέγρ., καὶ αἰτιᾷ ὅτι τ. τὴν γυν. — ἄγαμον ἔνδον καταγηράcκειν. K.: ἐξῇ coι τρ—αc γράφειν δέον εἰc., οἵαcπερ νῦν γέγρ., δc ἔμ' αἰτιᾷ ὅτι ταύτῃ τῇ γυναικὶ παρεcκεύαcα ἄγ. ἔ. κ., εἴγε τοιάcδε cυνοικεῖν, ὡc φῄc, οὐ προcήκει κτέ. Pat.: ἐξῇ coι ὥcπερ τραγ. γράψαι τὴν εἰc., ὥcπερ νῦν γέγρ., καὶ αἰτιᾷ ὅτι ταύτην τ. γ. ἐγὼ ἐβουλόμην ἄ. ἔ. κ. — JBL.: ἐξῇ coι τραγ. γράφειν εἰc τὴν εἰc., οἵαcπερ νῦν γέγρ. — — αἰτιᾷ ὅτι ταύτην τ. γ. ἔπραττον ἄ. ἔ. κ. — Ceterum ad v. 16 sqq. referendus Harpocrationis locus, s. v. εἰcαγγ.

Col. XI. 2 οὔκουν Sw. C., recte nisi sequeretur μέν. — 4 τη A. — 6 $\overset{η}{α}$τινι A. — 8 ηcγε A pr. — 10 ωου A. — 11 εγ/δεδ. *et 14* ανεγδοτον A, ut col. 5, 7. —

νοι δύο πόλειϲ τῶν ὑμετέρων αὐτῶν. — Ὅϲα μὲν οὖν ἐγὼ εἶχον, ὦ ἄνδρεϲ δικαϲταί, ὑπὲρ ἐμαυτοῦ εἰπεῖν, ϲχεδὸν ἀκηκόατε· ἐπ[ει]δὴ δὲ ὁ κατήγορ[ο]ϲ οὐκ ἀπείρωϲ ἔχων τοῦ λέγειν, — εἰωθὼϲ δὲ πολλάκιϲ ἀγωνίζεϲθαι ἐκάλει ϲυνηγόρουϲ τοὺϲ ϲυναπο[[λ]]λοῦντάϲ τινα τῶν πολιτῶν ἀδίκωϲ, δέομαι ὑμῶν καὶ ἐγὼ καὶ ἀντιβολῶ κελεῦϲαι κἀμὲ καλέϲαι τοὺϲ ϲυνεροῦνταϲ | XVI ἐμοὶ ὑπὲρ τηλικούτου ἀγῶνοϲ — καὶ ἀκοῦϲαι εὐνοϊκῶϲ, εἴ τίϲ μοι ἔχει τῶν οἰκείων ἢ τῶν φίλων βοηθῆϲαι — πολίτῃ μὲν ὄντι ὑμετέρῳ, — ἰδιώτῃ δὲ καὶ οὐκ εἰωθότι λέγειν, — ἀγωνιζομένῳ δὲ καὶ κινδυνεύοντι οὐ μόνον περὶ θανάτου, ἐλάχιϲτον γὰρ τοῦτό ἐϲτιν τοῖϲ ὀρθῶϲ λογιζομένοιϲ, ἀλλ' ὑπὲρ τοῦ ἐξοριϲθῆναι καὶ ἀποθανόντα μηδὲ ἐν τῇ πατρίδι ταφῆναι. — ἐὰν οὖν κελεύητε, ὦ ἄνδρεϲ δικαϲταί, καλῶ τινα βοηθήϲοντα. ἀνάβηθί μοι, Θεόφιλε, καὶ ϲύνειπε ὅ τι ἔχειϲ· κελεύουϲιν οἱ δικαϲταί.

Ἀπολογία ὑπὲρ Λυκόφρονοϲ. |

---

22 ϲυναπολ|λυνταϲ A pr.; corrector o adscripsit. — 25 εγωι A. — 26 αντιβολωι A.

Col. XVI. 4 μου A pr. — 10 αγω|νιζομενω A. — 12 μονπερι A pr. — 25 Ante hunc proximumque versum atque etiam infra multae lineae obliquae pictae sunt. — 27 sq. Supra tituli utrumque versum aliquot lineae conspiciuntur, quas accentus notas interpreteris, nisi quod etiam post ultimam syllabam et infra Λυκοφρ. additae sunt.

III.

XVII
ΥΠΕΡ ΕΥΞΕΝΙΠΠΟΥ ΕΙΣΑΓΓΕΛΙΑΣ ΑΠΟΛΟΓΙΑ ΠΡΟΣ ΠΟΛΥΕΥΚΤΟΝ. |

XVIII 'Αλλ' ἔγωγε, ὦ ἄνδρες δικασταί, ὅπερ καὶ πρὸς τοὺς παρακαθημένους ἀρτίως ἔλεγον, θαυμάζω, εἰ μὴ προσίστανται ἤδη ὑμῖν αἱ τοιαῦται εἰσαγγελίαι. — τὸ μὲν γὰρ πρότερον εἰσηγγέλλοντο παρ' ὑμῖν Τιμόμαχος καὶ Λεωσθένης καὶ Καλλίστρατος καὶ Φίλων ὁ ἐξ 'Αναίων καὶ Θεότιμος ὁ Σηστὸν ἀπολέσας καὶ ἕτεροι τοιοῦτοι· — καὶ οἱ μὲν αὐτῶν ναῦς αἰτίαν ἔχοντες προδοῦναι, οἱ δὲ πόλεις 'Αθηναίων, ὁ δὲ ῥήτωρ ὢν λέγειν μὴ τὰ ἄριστα τῷ δήμῳ· — καὶ οὔτε τούτων πέντε ὄντων οὐδεὶς ὑπέμεινε τὸν ἀγῶνα, ἀλλ' αὐτοὶ ᾤχοντο φεύγοντες ἐκ τῆς πόλεως, οὔτ' ἄλ- | XIX λοι πολλοὶ τῶν εἰσαγγελλομένων, ἀλλ' ἦν σπάνιον ἰδεῖν ἀπ' εἰσαγγελίας τινὰ κρινόμενον ὑπακούσαντα εἰς τὸ δι-

---

Col. XVII. Inscriptio litteris valde diversis exarata est, quas propter ductuum summam neglegentiam et compendia quoque quaedam non facile intellegas.

Col. XVIII. 6 ηδηι A. — 23 τουτω̅ A. — 25 οὐδ' εἷς Sw. — 26 ωχοντο A.

Col. XIX. 3 ἀλλ' ἦν σπάνιον ἰδεῖν a corr. supra columnam adscriptum; de notis adhibitis v. praef. — 6 δικα-

καϲτήριον· — οὕτωϲ ὑπὲρ μεγάλων ἀδικημάτων καὶ περιφανῶν αἱ εἰϲαγγελίαι τότε ἦϲαν. — νυνὶ δὲ τὸ γινόμενον ἐν τῇ πόλει πάνυ καταγέλαϲτόν ἐϲτιν. — Διογνίδηϲ μὲν καὶ Ἀντίδωροϲ ὁ μέτοικοϲ εἰϲαγγέλλονται ὡϲ πλέονοϲ μιϲθοῦντεϲ τὰϲ αὐλητρίδαϲ ἢ ὁ νόμοϲ κελεύει, — *Ἀγαϲικλῆϲ δ' ὁ ἐκ Πειραιέωϲ ὅτι εἰϲ Ἁλιμουϲίουϲ ἐνεγράφη], Εὐξένιπποϲ δ' ὑ]πὲρ τῶν ἐνυπνίων] ὧν φηϲιν ἑωρακέ]ναι· ὧν οὐδε*μ*[ία] δήπου τῶν αἰτι[ῶ]*ν* τούτων οὐδὲν |

XX

κοινωνεῖ τῷ εἰϲαγγελτικῷ νόμῳ. — Καίτοι, ὦ ἄνδρεϲ δικαϲταί, ἐπὶ τῶν δημοϲίων ἀγώνων οὐ χρὴ τοὺϲ δικαϲτὰϲ πρότερον τὰ καθ' ἕκαϲτα τῆϲ κατηγορίαϲ ὑπομένειν ἀκούειν, πρὶν αὐτὸ τὸ κεφάλαιον τοῦ ἀγῶνοϲ καὶ τὴν ἀντιγραφὴν ἐξετάϲωϲιν εἰ ἔϲτιν ἐκ τῶν νόμων ἢ μή· — οὐ μὰ Δία, οὐχ ὥϲπερ ἐν τῇ κατηγορ[ί]ᾳ Πολύευκτοϲ ἔλεγεν, ο[ὐ φάϲκων δεῖν τοὺϲ ἀπολογουμένουϲ ἰϲχυρίζεϲθαι τῷ εἰϲαγγελτικῷ νόμῳ, ὃϲ κελεύει κατὰ τῶν ῥητόρων αὐτῶν

ϲτηέριον A. — 10 τουτο A pr. — 11 γίγνομαι et γιγνώϲκω, quemadmodum in quibusdam locis etiam scriptum est, Hyperidi ubique restituit Cb.; Bb. Sw. C. codicem sequuntur. — 13 ειναι A pr., εϲτιν A corr. — 14 Διογνίδηϲ nomen iniuria tentavit Cb.; Διογενείδηϲ potius, quod reponere vult, non recte derivatum est. — 19 ἢ (ὅϲου) ὁ νόμοϲ solus Cb. — 20 αγηϲικληϲ A.; corr. Bb. collato Harpocrationis loco (s. v. Ἀγ.): περὶ Ἀγαϲικλέουϲ Ὑπ. λέγει κτέ. — 21 Πειραιῶϲ Cb. solus. — 25 ἑορακέναι Cb. solus. — 26 sq. neglegentiam quae est in τούτων repetito postquam praecessit ὧν alii defendunt; Cb. locum corruptum censet; Patakis καὶ ὅμωϲ οὐδεμία conicit.

Col. XX. 1 ουδε|νι A pr.; ουδε|ν A corr. — 10 πρὶν (ἂν) αὐτὸ ci. Sw., probavit Cb. — 13 εξεταϲιν A pr. — 15 μή tollere vult Cb., cui praeter Sw.[1] nemo assensus est. — 16 τηκατηγορ.α A. — 17 ὁ φάϲκων mire Sp. — 20 sq. *τωειϲαγγελτικω* A. — 26 μὴ οὐ nemo defendit praeter JBL.

τὰς εἰσαγγελίας ε[ἶ-
ναι περὶ τοῦ λέγει[ν
μὴ ⟦οὐ⟧ τὰ ἄριστα τῷ
δήμῳ, οὐ κατὰ πάν- |
XI των Ἀθηναίων.
— ἐγὼ δὲ οὔτε πρότε-
ρον οὐδενὸς ἂν μνη-
σθείην ἢ τούτου,
οὔτε πλείους οἶμαι
δεῖν λόγους ποιεῖ-
σθαι περὶ ἄλλου τινὸς ἢ
ὅπως ἐν δημοκρα-
τίᾳ κύριοι οἱ νόμοι
ἔσονται, καὶ αἱ εἰσαγ-
γελίαι καὶ αἱ ἄλλαι κρί-
σεις κατὰ τοὺς νό-
μους εἰσί⟦σ⟧ασιν εἰς
τὸ δικαστήριον· — διὰ
τοῦτο γὰρ ὑμεῖς ὑπὲρ
ἁπάντων τῶν ἀδι-
κημάτων, ὅσα ἔστιν
ἐν τῇ πόλει, νόμους
ἔθεσθε χωρὶς περὶ
ἑκάστου αὐτῶν.
— ἀσεβεῖ τις περὶ τὰ ἱερά·
γραφαὶ ἀσεβείας
πρὸς τὸν βασιλέα (εἰσίν).
— φαῦλός ἐστι πρὸς
τοὺς ἑαυτοῦ γονεῖς·
ὁ ἄρχων ἐπὶ τούτου
κάθη[ται]. — παράνο-
μά τις ἐν τῇ πόλει |
γράφει· θεσμοθε- XXII
τῶν συνέδριον ἔστι(ν).
— ἀπαγωγῆς ἄξια ποι-
εῖ· ἀρχὴ τῶν ἕνδεκα
καθέστηκε. — τὸν αὐ-
τὸν δὲ τρόπον καὶ ἐ-
πὶ τῶν ἄλλων ἀδικη-
μάτων ἁπάντων
καὶ νόμους καὶ ἀρ-
χὰς καὶ δικαστήρια
τὰ προσήκοντα ἑκά-
στοις αὐτῶν ἀπέδο-
τε. — ὑπὲρ τίνων οὖν
οἴεσθε δεῖν τὰς εἰ-
σαγγελίας γίγνεσθαι;
τοῦτ' ἤδη καθ' ἕκαστον
ἐν τῷ νόμῳ ἐγρά-
ψατε, ἵνα μὴ ἀγνοῇ
μηδείς. — ἐάν τις, φησί,
τὸν δῆμον τὸν Ἀθη-
ναίων καταλύῃ· — εἰ-
κότως, ὦ ἄνδρες δικα-
σταί· ἡ γὰρ τοιαύτη αἰ-
τία οὐ παραδέχεται
σκῆψι[ν ο]ὐδεμίαν
οὐδενὸς οὐδ' ὑπω-

Col. XXI. 18 τη A. — 22 γραφαιβασεβειας A pr., eodem fortasse errore quo col. 9, 20 ἀκούειν κελεύειν pro ἀκ. καὶ κελ. scripsit. — 23 βασιλεαι A vel sec. Bb. A pr. — εἰσίν desiderat Bb.; inserit Cb. post γραφαί, K. Sw.[1] post ἀσεβ., L. C. Cp. post βασ. — 28 τη A.

Col. XXII. 1 γραφη A pr. — 4 αχρη A pr. — 10 δικαστηριαι A. — 12 αποδοτε A pr. — 14 φεσθε Cb. — 18 αγνοη A. — 21 καταλυση A. — 23 τοιαυτηι A. —

μοcίαν, ἀλλὰ τὴν
ταχίcτην αὐτὴν δεῖ |
XXIII εἶναι ἐν τῷ δικα-
cτηρίῳ· — ἢ cυνίῃ
ποι ἐπὶ καταλύcει
τοῦ δήμου ἢ ἑταιρι-
κὸν cυναγάγῃ, ἢ ἐάν
τις πόλιν τινὰ προ-
δῷ ἢ ναῦc ἢ πεζὴν
ἢ ναυτικὴν cτρατι-
άν, ἢ ῥήτωρ ὢν μὴ
λέγῃ τὰ ἄριcτα τῷ
δήμῳ τῷ Ἀθηναί-
ων χρήματα λαμβά-
νων· — τὰ μὲν ἄνω
τοῦ νόμου κατὰ πάν-
των τῶν πολιτῶν
γράψαντες, — ἐκ πάντων
γὰρ καὶ τἀδικήματα
ταῦτα γένοιτ᾽ ἄν· — τὸ
δὲ τελευταῖον τοῦ
νόμου κατ᾽ αὐτῶν τῶν ῥη-
τόρων, παρ᾽ οἷc ἔcτιν
καὶ τὸ γράφειν τὰ ψη-
φίcματα. — ἐμαίνε-
cθε γὰρ ἄν, εἰ ἄλλον τι-
νὰ τρόπον τὸν νό-
μον τοῦτον ἔθε-
cθε ἢ οὕτωc, — εἰ τὰc
μὲν τ[ι]μὰc καὶ τὰc |
ὠφελίαc ἐκ.τοῦ λέ- XXIV
γειν οἱ ῥήτορεc καρ-
ποῦνται, τοὺc δὲ κιν-
δύνουc ὑπὲρ αὐτῶν
τοῖc ἰδιώταιc ἀνεθή-
κατε. — ἀλλ᾽ ὅμωc Πολύ-
ευκτοc οὕτωc ἐcτὶν
ἀνδρεῖοc ὥcτε εἰc-
αγγελίαν διώκων
οὐκ ἔφη δεῖν τοὺc
φεύγονταc τῷ εἰc-
αγγελτικῷ νόμῳ
χρῆcθαι. — καὶ οἱ μὲν
ἄλλοι πάντεc κατή-
γοροι, ὅταν οἴωνται
δεῖν ἐν τῷ προτέρῳ
λόγῳ ὑφελεῖν τῶν
φευγόντων τὰc ἀπο-
λογίαc, — τοῦτο παρα-
κελεύονται τοῖc δι-

---

27 υπωμθειαν A pr., quod puncto sub mediam lineolam Θ litterae posito correctum est.

Col. XXIII. 1 εἰcιέναι εἰc τὸ δικαcτήριον ci. Bakius ap. Cb. — 3 που A pr. — 5 cυναγαγη A. — 10 τω A. — 16 παντω̄ A. — 20 κατατωνρητορων A pr. — 24 αλλοτια|να A pr.; corr. N addidit et A transfixum delevit. — 27 $\overset{ει}{\eta\tau\alpha c}$ A., puncto supra H litteram addito; unde εἰ τὰc omnes praeter C., qui ἢ εἰ τὰc edidit. Cobeto tamen post οὕτωc aliqua intercidisse videntur. cf. L.[1] p. 518.

Col. XXIV. 3 ἐκαρποῦντο K., qui et αὑτῶν v. 4 scribendum putavit, sed postea et ipse αὐτῶν agnovit. — Versui secundo fortasse, errore videlicet, interpunctio supposita fuit, *quae proximo* magis conveniebat. — 9 ειcαγγελιαc A pr. —

καϲταῖϲ, μὴ ἐθέλειν ἀκούειν τῶν ἀπολογουμένων, ἐάν τινεϲ ἔξω τοῦ νόμου λέγωϲιν, ἀλλ' ἀπαντᾶν πρὸϲ τὰ λεγόμενα καὶ κελεύειν τὸν νόμον ἀναγινώϲκειν· — ϲὺ δὲ τοὐναν- |
XXV τίον τὴν εἰϲ τοὺϲ νόμουϲ καταφυγὴν ἐκ τῆϲ ἀπολογίαϲ οἴει δεῖν ἀφελέϲθαι Εὐξενίππ[ο]υ. — Καὶ πρὸϲ τούτοιϲ οὐδὲ βοηθεῖν οὐδένα φῂϲ δεῖν αὐτῷ οὐδὲ ϲυναγορεύειν, ἀλλὰ παρακελεύῃ τοῖϲ δικαϲταῖϲ μὴ θέλειν ἀκο[ύ]ειν τῶν ἀναβαινόντων. — καίτοι τί τούτων ἐν τῇ πόλει βέλτιον ἢ δ[ημο]τικώτερόν ἐϲτι, πολλῶν καὶ ἄλλων καλῶν ὄντων, ἢ ὁπόταν τιϲ ἰδιώτηϲ εἰϲ ἀγῶνα καὶ κίνδυνον καταϲτὰϲ μὴ δύνηται ὑπὲρ ἑαυτοῦ ἀπολογεῖϲθαι, τούτῳ τὸν βουλόμενον τῶν πολιτῶν ἐξεῖναι ἀναβάντα βοηθῆϲαι καὶ τοὺϲ δικαϲτὰϲ ὑπὲρ τοῦ πράγματοϲ τὰ δίκαια διδάξαι; |
ἀλλὰ νὴ Δία αὐτὸϲ τοι- XXVI
ούτῳ πράγματι οὐ κέχρηϲαι; ἀλλ' ὅτ' ἔφευγεϲ τὸν ἀγῶνα ὑπ' Ἀλεξάνδρου τοῦ ἐξ Οἴου, δέκα μὲν ϲυνηγόρουϲ ἐκ τῆϲ Αἰγηΐδοϲ φυλῆϲ ᾐτήϲω, ὧν καὶ ἐγὼ ε[ἷ]ϲ ἦν αἱρεθεὶϲ ὑπὸ ϲοῦ, ἐκ δὲ τῶν ἄλλων [Ἀ]θηναί-

---

23 εαντι·|νεϲ A.; ἐάν τι Cb. — 27 K.[1] post κελεύειν excidisse putat τὸν γραμματέα.

Col. XXV. 7 φηϲ ubique A., quam scripturam non mutandam censui. — αυτω A. — 9 παρακελεύει Cb. — 10 μὴ ἐθέλειν Cb.; debebam fortasse μὴ 'θέλειν scribere. — 13 τούτου Sw. Cb. Cp. MO.; retinent τούτων ceteri, coll. pro Lyc. col. 9, 6. C. tamen quod utrobique illud vocabulum cum ἐν τῇ πόλει coniungit, hoc loco coactus est τούτων τῶν conicere. At nulla est offensio; cf. e. g. Lys. 27, 10. — τη A. — 14 βελτειον A.

Col. XXVI. 1 μὰ Δία iniuria requirit Cb. — τοι τούτῳ Patakis. — 4 αγωνατουε|ξουουδεκα A pr.; corrector deletis ΤΟ litteram Ε mutavit in Π et ΥΠΑΛΕ post vs. adscripsit; porro v. 5 ανδρ post Ξ et deinde τουεξοι supra vs. addidit. — 7 ητηϲωι A.; ᾐρήϲω Sp. — 8 εγωι A. —

ων ἐκάλειϲ ἐπὶ τὸ δικαϲτήριον τοὺϲ βοηθήϲοντάϲ ϲοι. — καὶ τὰ μὲν ἄλλα τί δεῖ λέγειν; αὐτῷ δὲ τούτῳ τῷ ἀγῶνι πῶϲ κέχρηϲαι; οὐ κατηγόρηϲαϲ ὁπόϲα ἐβούλου; οὐ Λυκοῦργον ἐκάλειϲ ϲυγκατηγορήϲοντα, οὔτε τῷ λέγειν οὐδενὸϲ τῶν ἐν τῇ πόλει καταδεέϲτερον ὄντα, παρὰ τούτοιϲ τε μέτριον καὶ ἐπιεικῆ δοκοῦντα εἶναι; — εἶτα ϲοὶ μὲν ἔξεϲτι καὶ φε[ύ]γοντι τοὺϲ βοηθήϲονταϲ κα- |

XXVII λε[ῖ]ν καὶ διώκοντι το[ὺϲ] ϲυγκατηγόρουϲ ἀναβιβάϲαϲθαι, ὃϲ οὐ μόνον ὑπὲρ ϲεαυτοῦ δύναϲαι εἰπεῖν, ἀλλὰ καὶ ὅλῃ πόλει πράγματα παρέχειν ἱκανὸϲ εἶ, — Εὐξενίππῳ δ' ὅτι ἰδιώτηϲ ἐϲτὶ καὶ πρεϲβύτεροϲ οὐδὲ τοὺϲ φίλουϲ καὶ τοὺϲ οἰκείουϲ ἐξέϲται βοηθεῖν, εἰ δὲ μή, διαβληθήϲονται ὑπὸ ϲοῦ; — Νὴ Δία, τὰ γὰρ πεπραγμένα αὐτῷ δεινά ἐϲτι καὶ ἄξια θανάτου, ὡϲ ϲὺ λέγειϲ ἐν τῇ κατηγορίᾳ. ϲκέψαϲθε δή, ὦ ἄνδ[ρ]εϲ δικαϲταί, καθ' ἓν ἕκαϲτον αὐτῶν ἐξετάζοντεϲ. — ὁ δῆμοϲ προϲέταξεν Εὐξενίππῳ τρίτῳ αὐτῷ ἐγκατακλιθῆναι εἰϲ τὸ ἱερόν, οὗτοϲ δὲ κοιμηθεὶϲ ἐνύπνιόν φηϲιν ἰδεῖν, |

XXVIII ὃ τῷ δήμῳ ἀπαγγεῖλαι. — τοῦτ' εἰ μὲν ὑπελάμβανεϲ ἀληθὲϲ εἶναι, καὶ ὃ εἶδεν ἐν τῷ ὕπνῳ τοῦτ' αὐτὸν ἀπαγγεῖλαι πρὸϲ τὸν δῆμον, τί καὶ ἀδικεῖ ἃ ὁ θεὸϲ αὐτῷ προϲέταττε ταῦτ' ἐξαγγείλαϲ πρὸϲ Ἀθηναίουϲ; — εἰ δέ, ὥϲπερ νυνὶ λέγειϲ,

13 κατα A pr. — 16 τουαγωνοϲ A pr. — 18 ου a correct. additum videtur. — 20 ϲυνκατ. A. Sw. — 22 τη A. — 25 επεικηι A pr.; επιεικηι corr.

Col. XXVII. 2 ϲυνκατηγορουϲ A. Sw. — 6 ὅλῃ τῇ πόλει Cb. — 8 ευξενιππω A. — 25 ενκατακλιθηναι A. Sw.; ἐγκατακλινῆναι Cb. — 26 ϊερον A.

Col. XXVIII. 3 αληθη A pr; αληθεϲ A corr. Tamen illud secutus est Sw. — 7 αδικια A pr.; αδικει del. a corr. — 8 ἁ (sic) ante versum positum correctori debetur. Etiam

ἡγοῦ αὐτὸν καταψεύϲαϲθαι τοῦ θεοῦ καὶ χαριζόμενόν τιϲι μὴ τἀληθῆ ἀπηγγελκέναι τῷ δήμῳ, οὐ ψήφιϲμα ἐχρῆν ϲε πρὸϲ τὸ ἐνύπνιον γράφειν, ἀλλ' ὅπερ ὁ πρότεροϲ ἐμοῦ λέγων εἶπεν, εἰϲ Δελφοὺϲ πέμψαντα πυθέϲθαι παρὰ τοῦ θεοῦ τὴν ἀλήθειαν. — ϲὺ δὲ τοῦτο μὲν οὐκ ἐποίηϲαϲ, ψήφιϲμα δὲ αὐτοτελὲϲ ἔγραψαϲ κατὰ δυοῖν φυλαῖν οὐ μόνον ἀδικώτατον, |

IX ἀλλὰ καὶ ἐναντίον αὐτὸ ἑαυτῷ· — δι' ὅπερ ἥλωϲ παρανόμων, οὐ δι' Εὐξένιππον. Ἐξετάϲωμεν δὲ περὶ αὐτοῦ τουτονὶ τὸν τρόπον. — αἱ φυλαὶ ϲύνδυο γενόμεναι τὰ ὄρη τὰ ἐν Ὠρωπῷ διείλοντο, τοῦ δήμου αὐταῖϲ δόντοϲ. τοῦτο τὸ ὄροϲ ἔλαχεν Ἀκαμαντὶϲ καὶ Ἱπποθοωντίϲ. — ταύταϲ τὰϲ φυλὰϲ ἔγραψαϲ ἀποδοῦναι τὸ ὄροϲ τῷ Ἀμφιαράῳ καὶ τὴν τιμὴν ὧν ἀπέδοντο, ὡϲ πρότερον τοὺϲ ὁριϲτὰϲ τοὺϲ πεντήκοντα ἐξελόνταϲ αὐτὸ τῷ θεῷ καὶ ἀφορίϲανταϲ, καὶ οὐ προϲηκόντωϲ τὰϲ δύο φυλὰϲ ἐχούϲαϲ τὸ ὄροϲ. — μικρὸν δὲ διαλιπὼν ἐν ταὐτῷ ψηφίϲματι γράφειϲ τὰϲ ὀκτὼ φυλὰϲ ποιῆϲαι *ταῖν |

XXX δυοῖν φυλαῖν τὰ διάφορα καὶ ἀποδοῦναι, ὅπωϲ ἂν μὴ ἐλαττῶνται. — καίτοι εἰ μὲν ἴδιον (ὃν) τῶν φυλῶν ἀφῃροῦ τὸ ὄροϲ, πῶϲ οὐκ ὀργῆϲ ἄξιοϲ; — εἰ δὲ μὴ προϲηκόντωϲ εἶχον αὐτὸ, ἀλλὰ τοῦ θεοῦ ὄν, διὰ τί τὰϲ ἄλλαϲ φυλὰϲ ἔγ[ρ]αφεϲ αὐταῖϲ προϲαποδιδόναι ἀργύριον; ἀγαπητὸν γὰρ ἦν *αὐ-

---

in ηγου v. 12 spiritus nota conspicitur. — 12 κατεψεῦϲθαι Patakis. — 19 ποτεροϲ A pr. — 20 ειπειν A pr.

Col. XXIX. 8 ορηι A. — 11 τὸ αὐτὸ ὄροϲ K. — 12 ἔλαχον Cb., recte fortasse. — 19 πεντηι A. — 26 ταυτω A. — 27 οκτωι A. — 28 πορίϲαι Cb. — ταν A.

Col. XXX. 5 ἴδιον (ὃν) Cb. Patakis Sw.[1] Cp. JBL.; ἴδιον C. — αφηρου A. — 7 ἄξιοϲ (εἶ); εἰ Sw. Cb. Cp., ἄξιον; εἰ Langius ap. Sw. — Eo difficilius hoc in loco εἶ excidere potuit, quod post ἄξ. spatium vacuum est in codice. — 12 τάρ-

ταῖϲ εἰ τὰ τοῦ θεοῦ ἀποδώϲουϲιν καὶ μὴ προϲαποτίϲουϲι(ν) ἀργύριον.—Ταῦτ' ἐν τῷ δικαϲτηρίῳ ἐξεταζόμενα οὐκ ὀρθῶϲ ἐδόκει γεγράφθαι, ἀλλὰ κατεψηφίϲαντό ϲου οἱ δικαϲταί. εἶτ' εἰ μὲν ἀπέφυγεϲ τὴν γραφήν, οὐκ ἂν κατεψεύϲατο οὗτοϲ τοῦ θεοῦ, ἐπειδὴ δὲ ϲυνέβη ϲοι ἁλῶναι, Εὐξένιππον δεῖ ἀπολωλέναι; — καὶ ϲοὶ | XXXI μὲν τῷ τοιοῦτο ψήφιϲμα γράψαντι πέντε καὶ εἴκοϲι δραχμῶν ἐτιμήθη, — τὸν δὲ κατακλιθέντα εἰϲ τὸ ἱερὸν τοῦ δήμου κελεύϲαντοϲ μηδ' ἐν τῇ Ἀττικῇ δεῖ *τεθάφθαι; Ναί· — δεινὰ γὰρ ἐποίηϲεν περὶ τὴν φιάλην ἐάϲαϲ Ὀλυμπιάδα ἀναθεῖναι εἰϲ τὸ ἄγαλμα τῆϲ Ὑγιείαϲ. — τοῦτο γὰρ ὑπολαμβάνειϲ, ἐφόδιον ἑαυτῷ εἰϲ τὸν ἀγῶνα τὸ ἐκείνηϲ ὄνομα παραφέρων καὶ κολακείαν ψευδῆ κατηγορῶν Εὐξενίππου, μῖϲοϲ καὶ ὀργὴν αὐτῷ ϲυλλέξειν παρὰ τῶν δικαϲτῶν. — δεῖ δέ, ὦ βέλτιϲτε, μὴ ἐπὶ τῷ Ὀλυμπιάδοϲ ὀνόματι καὶ τῷ Ἀλεξάνδρου τῶν πολιτῶν | XX τινα ζητεῖν κακόν τι ἐργάϲαϲθαι, ἀλλ' ὅταν ἐκεῖνοι πρὸϲ τὸν δῆμον τὸν Ἀθηναίων ἐπιϲτέλλωϲι μὴ τὰ δίκαια μηδὲ τὰ προϲήκοντα, τότε ἀναϲτάντα ὑπὲρ τῆϲ πόλεωϲ

γύριον Cb. — 14 αυτοιϲ A, quod retinet L. — 22 ετει A pr. — 23 απεφέυγεϲ A.

Col. XXXI. 4 ετειμηθηι A. — 5 κατακλινέντα Cb. — 6 ϊερον A. — 8 αττικη A. — τεταφ|ναι A pr.; τεταφθαι|ναι A corr. Τεταφέναι exstiterit; inde interpunctionis signum nono demum versui suppositum. — τεθάφθαι· δεινὰ Bb.; ταφῆναι· δεινὰ Sw. Cp. JBL.; ταφῆναι. (νὴ Δία), δεινὰ Cb. Sw.[1]; ταφῆναι. ναί· δεινὰ L. Ipse K. et C. secutus sum. — 9 δεινγαρ A pr. — 13 υγειαο A pr.; υγιέιαο A corr.; sed punctum illud casu ortum esse potest. — 13 τούτῳ Sw.; οὕτω K., quo reiecto idem nunc ἕξειν καὶ post ἀγῶνα excidisse putat. — 15 εαυτω A; ϲαυτῷ Cb. — 18 κολαζει|ανψευδει A pr. — 21 ϲυν|λεξειν A Sw. — 24 των A pr., τω corr. — 26 τω A.

ἀντιλέγειν καὶ πρὸϲ τοὺϲ ἥκονταϲ παρ' αὐτῶν δικαιολογεῖϲθαι καὶ εἰϲ τὸ κοινὸν τῶν Ἑλλήνων ϲυνέδριον πορεύεϲθαι βοηθήϲοντα τῇ πατρίδι. — ϲὺ δ' ἐκεῖ μὲν οὐδεπώποτε ἀνέϲτηϲ οὐδὲ λόγον περὶ αὐτῶν ἐποιήϲω, ἐνθάδε δὲ μιϲεῖϲ Ὀλυμπιάδα ἐπὶ τῷ ἀπολέϲαι Εὐξένιππον, καὶ φῂϲ κόλακα αὐτὸν εἶναι ἐκείνηϲ καὶ Μακεδόνων· — ὃν ἐὰν δείξῃϲ ἀφιγμένον πώποτε εἰϲ Μα- |

XXXIII κεδονίαν ἢ ἐκείνων τινὰ ὑποδεξάμενον εἰϲ τὴν αὑτοῦ οἰκίαν ἢ χρώμενον τῶν ἐκεῖθέν τινι ἢ ἐντυγχάνοντα ἢ λόγουϲ καὶ οὑϲτιναϲοῦν ἢ ἐπ' ἐργαϲτηρίου ἢ ἐν τῇ ἀγορᾷ ἢ ἄλλοθί που περὶ τούτων τῶν πραγμάτων εἰρηκότα καὶ μὴ κοϲμίωϲ καὶ μετρίωϲ τὰ αὑτοῦ πράττοντα ὥϲπερεί τιϲ καὶ ἄλλοϲ τῶν πολιτῶν, χρηϲάϲθωϲαν αὐτῷ οἱ δικαϲταὶ ὅ τι βούλονται. — εἰ γὰρ ταῦτα ἦν ἀληθῆ ἃ κατηγορεῖϲ, οὐκ ἂν ϲὺ μόνοϲ ᾔδειϲ, ἀλλὰ καὶ οἱ ἄλλοι πάντεϲ οἱ ἐν τῇ πόλει, ὥϲπερ καὶ περὶ τῶν ἄλλων ὅϲοι τι ὑπὲρ ἐκείνων ἢ λέγουϲιν ἢ πράττουϲιν, |

XXXIV οὐ μόνον αὐτοὶ, ἀλλὰ καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἴϲαϲι καὶ τὰ παιδία τὰ ἐκ τῶν διδαϲκαλείων καὶ τῶν ῥητόρων τοὺϲ παρ' ἐκείνων μιϲθαρνοῦνταϲ καὶ τῶν ἄλλων τοὺϲ ξενίζονταϲ τοὺϲ ἐκεῖθεν ἥκον-

---

Col. XXXII. 12 τῶ A. — 20 μειϲειϲ A. — 26 δειξηϲ A. — αφειγμενον A.

Col. XXXIII. 5 τινι in margine additum. — 7 λογουϲϲ A pr. — 9 τη A. — 17 χρηϲάϲθων Cb. — 18 αυτω A. — 20 ταῦτ' ἦν Cb. — 22 ηδειϲ A.

Col. XXXIV. 1 οὗτοι Cb., ut intellegantur iudices, quod probant K. Cp. Cb. At hic est sensus: „non hercle occulta res est, ut ipsi modo sibi conscii sint“. Non possunt iudices ceteris civibus ita opponi, ut accuratior notitia talium rerum eis adscribatur. Neque magis post ἴϲαϲι excidit γάρ

ταϲ καὶ ὑποδεχομένουϲ καὶ εἰϲ τὰϲ ὁδοὺϲ ὑπαντῶνταϲ ὅταν προϲίωϲι· καὶ οὐδαμοῦ ὄψει οὐδὲ παρ' ἑνὶ τούτων Εὐξένιππον καταριθμούμενον· — ϲὺ δ' ἐκείνων μὲν οὐδένα κρίνειϲ οὐδ' εἰϲ ἀγῶνα καθίϲτηϲ, οὓϲ πάντεϲ ἴϲαϲι ταῦτα πράττονταϲ, κατ' Εὐξενίππου δὲ κολακείαν [κ]ατηγορεῖϲ, οὗ ὁ βίοϲ τὴν αἰτίαν οὐ παραδέχεται. |

XXXV καίτοι, εἰ νοῦν εἶχεϲ, περί γε τῆϲ φιάληϲ τῆϲ ἀνατεθείϲηϲ οὔτ' ἂν Εὐξένιππον ᾐτιῶ οὔτ' ἂν ἄλλον λόγον οὐδένα ἐνταῦθα ἐποιήϲω· οὐ γὰρ ἁρμόττει. — διὰ τί; καί μου τὸν λόγον, ὦ ἄνδρεϲ δικαϲταί, ἀκούϲατε, ὃν μέλλω λέγειν. (—) Ὑμῖν Ὀλυμπιὰϲ ἐγκλήματα πεποίηται περὶ τὰ ἐν Δωδώνῃ οὐ δίκαια, ὡϲ ἐγὼ δὶϲ ἤδη ἐν τῷ δήμῳ ἐναντίον ὑμῶν καὶ τῶν ἄλλων Ἀθηναίων πρὸϲ τοὺϲ ἥκονταϲ παρ' αὐτῆϲ ἐξήλεγξα οὐ προϲήκοντα αὐτὴν ἐγκλήματα τῇ πόλει ἐγκαλοῦϲαν. ὑμῖν γὰρ ὁ Ζεὺϲ ὁ Δωδωναῖοϲ προϲέταξεν ἐν τῇ μαντείᾳ τὸ ἄγαλμα τῆϲ Διώνηϲ ἐπικοϲ- |
μῆϲαι· καὶ ὑμεῖϲ πρό- XXXVI

(K^1). — 14 προΐωϲι Cb. Pat. Cp. JBL., quod et ipsum non necessarium est. „Cum appropinquantes eos prospiciant, in viam occurrunt." — 22 πραττοντεϲ A pr. — 23 κατ' delet Cb. — 25 ου^{o}βιοϲ A. — τὴν αἰτίαν iniuria sollicitant Bakius et Cb.. — In fine columnae additus fuit versus: καιτοιειουνειχεϲ, qui deinde a correctore uncis inclusus est.

Col. XXXV. 1 ειουνειχεϲ A pr. — 5 ητιωι A. — 7 εποιηϲωι A. — 8 Spatium vacuum in codice et ante et post διὰ τί relictum est; sed cf. c. Dem. 20, 8. Ceterum διὰ τί delere vult K^1. — 12 in codice post ὑμῖν demum interpunctum est; quid sibi velit linea extremo vs. 11 supposita ignoro. — ενκλ. A Sw. — 14 δωδωνη A. — 15 pro ὡϲ K^1 conicit καί, consulens eidem difficultati cui Cb. expungendo verba οὐ προϲήκ. — ἐγκαλοῦϲαν mederi studuerat. — 22 et 23 cod. εγκ. offert.

cωπόν τε *ποιηcάμενοι ὡc οἷόν τε κάλλιcτον καὶ τἆλλα πάντα τὰ ἀκόλουθα, καὶ κόcμον πολὺν καὶ πολυτελῆ τῇ θεῷ παραcκευάcαντεc καὶ θεωρίαν καὶ θυcίαν πολλῶν χρημάτων ἀποcτείλαντεc ἐπεκοcμήcατε τὸ ἕδοc τῆc Διώνηc ἀξίωc καὶ ὑμῶν αὐτῶν καὶ τῆc θεοῦ. — ὑπὲρ τούτων ὑμῖν τὰ ἐγκλήματα ἦλθε παρ' Ὀλυμπιάδοc ἐν ταῖc ἐπιcτολαῖc, ὡc ἡ χώρα εἴη ἡ *Μολοττία αὐτῆc, ἐν ᾗ τὸ ἱερόν ἐcτιν· οὔκουν προcῆκεν ἡμᾶc τῶν ἐκεῖ οὐδὲ ἓν κινεῖν. — ἐὰν μὲν τοίνυν τὰ περὶ τὴν φιάλην γεγονότα ἐν ἀδικήματι ψηφίcηcθε εἶναι, |

XXXVII

τρόπον τινὰ καὶ ἡμῶν αὐτῶν καταγινώcκομεν ὡc τὰ ἐκεῖ οὐκ ὀρθῶc ἐπράξαμεν· — ἐὰν δ' ἐπὶ τοῦ γεγενημένου ἐῶμεν, τὰc τραγῳδίαc αὐτῆc καὶ τὰc κατηγορίαc ἀφῃρηκότεc ἐcόμεθα. — οὐ γὰρ δήπου Ὀλυμπιάδι μὲν τὰ Ἀθήνηcιν ἱερὰ ἐπικοcμεῖν ἔξεcτιν, ἡμῖν δὲ τὰ ἐν Δωδώνῃ οὐκ ἐξέcται, καὶ ταῦτα τοῦ θεοῦ προcτάξαντοc. Ἀλλ' οὐκ ἔcτιν, ὦ Πολύευκτε, ὡc ἐμοὶ δοκεῖc, ὅθεν κατηγορίαν οὐκ ἂν ποιήcαιο. καίτοι cε ἐχρῆν, ἐπείπερ προῄρηcαι πολιτεύε-

---

Col. XXXVI. 2 κοcμηcαμενοι A. κομιcάμενοι Pat. Sw.[1] Cp.; ποιηcάμενοι K. — 5 τἀκόλ. Cb. — 7 πολυτεληι A. — 11 απεcτειλαντεc A pr. — 15 ὑ|περ A. — 17 Hic quoque εγκλ. A.. — 20 ἡ Μολοccία (sic enim A) ut manifestum emblema eicit Cb., non adversante Sw.[1], probantibus K. Cp.; at recte JBL. monuit, nihil praeter formam ibi suspectam esse; hanc igitur mutandam. — 21 τοϊερον A. — 22 οὐκοῦν Bb. — 23 προcήκειν Cb. Pat. Cp.; sed ita imperfecti notio obscuratur. — 26 φιληνA pr.

Col. XXXVII. 2 αὐτῶν errore om. C. — καταγεινωcκομεν A. — 7 Post ἐῶμεν recte distinguunt Sch. K.[1] Cp. — 9 αφηρηκοτεc A. — 15 δωδωνη A. — 19 δοκειc A, δοκεῖ errore Bb. Sw. Cb. — 22 εἴπερ Cb. — 23 προηρηcθαι A pr., προηρηcαι A corr. —

cθαι, καὶ νὴ Δία καὶ δύναcαι, μὴ τοὺc ἰδιώταc κρίνειν μηδ' εἰc τούτουc νεανιεύεcθαι, ἀλλὰ τῶν ῥητό- | XXXVIII ρων ἐάν τιc ἀδικῇ, τοῦτον κρίνειν, cτρατηγὸc ἐάν τιc μὴ τὰ δίκαια πράττῃ, τοῦτον εἰcαγγέλλειν· παρὰ γὰρ τούτοιc ἐcτὶ καὶ τὸ δύναcθαι βλάπτειν τὴν πόλιν, ὅcοι ἂν αὐτῶν προαιρῶνται, οὐ παρ' Εὐξενίππῳ οὐδὲ τῶν δικαcτῶν τούτων οὐδενί. — καὶ οὐ cὲ μὲν οὕτωc οἴομαι δεῖν πράττειν, αὐτὸc δὲ ἄλλον τινὰ τρόπον τῇ πολιτείᾳ κέχρημαι, ἀλλ' οὐδ' αὐτὸc ἰδιώτην οὐδένα πώποτε ἐν τῷ βίῳ ἔκρινα, ἤδη δέ τιcι καθ' ὅcον ἐδυνάμην ἐβοήθηcα. τίναc οὖν κέκρικα καὶ εἰc ἀγῶνα καθέcτακα; Ἀριcτοφῶντα τὸν Ἀζηνιέα, ὃc ἰcχυρότατοc ἐν τῇ πολιτείᾳ γεγένηται· — | XXXIX καὶ οὗτοc ἐν τούτῳ τῷ δικαcτηρίῳ παρὰ δύο ψήφουc ἀπέφυγε· — Διοπ(ε)ίθη τὸν Cφήττιον, ὃc δεινότατοc δοκεῖ εἶναι τῶν ἐν τῇ πόλει· Φιλοκράτη τὸν Ἁγνούcιον, ὃc θραcύτατα καὶ ἀcελγέcτατα τῇ πολιτείᾳ κέχρηται· τοῦτον εἰcαγγείλαc ἐγὼ ὑπὲρ ὧν Φιλίππῳ *ὑπηρετήκει κατὰ τῆc πόλεωc εἷλον ἐν τῷ δικαcτηρίῳ, καὶ τὴν εἰcαγγελίαν ἔγραψα δικαίαν καὶ ὥcπερ ὁ νόμοc κελεύει, ῥή-

---

24 δυα A pr., δια corr.

Col. XXXVIII. 2 κρίνειν (ἢ) pessime Cb. — 10 spatio vacuo quod est post προαιρ. respondet linea huic versui supposita; at ea cancellis circumscripta est. — 14 οιμαι A pr. — 15 αὐτὸc δὲ (καὶ) ἄλλον male L. — 16 sq. τηπολιτεια A. — 20 εκρεινα A. — 24 καὶ εἰc ἀγῶνα καθέcτακα delet Cb.; JBL. καθέcτακα in κατέcτηcα mutari iubet. Sw. K. C. Cp. codicis lectionem retinent; sed cf. Cp. p. 90. — 26 Ἀζηνιέα Sch. Cb. Cp.; αιζηνιεα A. — 28 πολιτεια A.

Col. XXXIX. 6 ἐδόκει Sch. propter temporum rationes. — 11 sq. ι|cαγγελιαc A pr. — 14 υπηρετεικαι A; em. Schoemann ap. Sw.[1], quamquam ipse ὑπηρέτηκε propter maiorem simi-

τορα ὄντα λέγειν
μὴ τὰ ἄριστα τῷ δή-
μῳ τῷ Ἀθηναίων
χρήματα λαμβάνον-
τα καὶ δωρεὰς παρὰ
τῶν τἀναντία πράτ-
τόντων τῷ δήμῳ·
καὶ οὐδ' οὕτως ἀπέ-
χρηcέ μοι τὴν εἰc- |
XL αγγελίαν δοῦναι,
ἀλλ' ὑποκάτω παρέ-
γραψα· τάδ' εἶπεν οὐ τὰ
ἄριστα τῷ δήμῳ
χρήματα λαβών,
εἶτα τὸ ψήφιcμα αὐ-
τοῦ ὑπέγραψα· — καὶ πά-
λιν· τάδε εἶπεν οὐ τὰ
ἄριστα τῷ δήμῳ χρή-
ματα λαβών, καὶ τὸ
ψήφιcμα παρέγρα-
φον. καὶ ἐcτί μοι πεν-
τάκιc ἢ ἑξάκιc τοῦτο
γεγραμμένον· δίκαι-
ον γὰρ ᾤμην δεῖν
τὸν ἀγῶνα καὶ τὴν κρί-
cιν ποιῆcαι. — cὺ δ' ἃ μὲν
εἰπεῖν Εὐξένιππον
φῂc οὐ τὰ ἄριστα τῷ
δήμῳ οὐκ εἶχεc γρά-
ψαι εἰc τὴν εἰcαγγελί-

αν, ἰδιώτην δ' ὄντα
κρίνειc ἐν τῇ τοῦ ῥή-
τοροc τάξει· — μικρὰ
δὲ περὶ τῆc ἀντιγρα-
φῆc εἰπὼν ἑτέραc
αἰτίαc καὶ διαβολὰc |
ἥκειc φέρων κατ' αὐ- XLI
τοῦ, — λέγων ὡc Φιλο-
κλεῖ τὴν θυγατέρα ἐ-
δίδου καὶ Δημοτίω-
νοc δίαιταν ἔλαβεν,
καὶ ἄλλαc τοιαύταc
κατηγορίαc, ἵν' ἐὰν μὲν
ἀφέμενοι τῆc εἰcαγ-
γελίαc περὶ τῶν ἔξω
τοῦ πράγματοc κατη-
γορηθέντων ἀπολο-
γῶνται, ἀπαντῶcιν
αὐτοῖc οἱ δικαcταί· τί
ταῦθ' ἡμῖν λέγετε; — ἐὰν
δὲ μηδένα λόγον
περὶ αὐτῶν ποιῶν-
ται, ὁ ἀγὼν αὐτοῖc χεί-
ρων γίνηται· τῶν γὰρ
κατηγορηθέντων
τὸ μὴ λαβὸν ἀπολο-
γίαν ὑπὸ τῇ ὀργῇ
τῶν δικαcτῶν κατα-
λ(ε)ίπεται. — καὶ τὸ πάν-
των δειν(ότ)ατον τῶν

---

litudinem praeferens. — 24 δωρεc **A pr. — 26** δημω **A.**

Col. XL. 1 εις|αγγελιανανδουναι **A. — 4** τω **A. — 15** ωμην **A. — 23** τη **A. — 24** μεικρα **A.**

Col. XLI. 7 post κατηγορίαc **excidisse aliqua putat K.**[1], **in hunc fere modum:** οἵαc οἱ cυκοφάνται εἰώθαcι κατὰ τῶν φευγόντων λέγειν. **— 13 versui interpunctionis nota subscripta, sed deinde uncis inclusa est. Idem accidit 38, 10. —**

ἐν τῷ λόγῳ λεγομένων ὑπὸ ϲοῦ, ὃ ϲὺ ᾤου λανθάνειν ὧν ἕ- |

XLII νεκα λέγειϲ, οὐ λανθάνων, ὁπότε παραφθέγγοιο ἐν τῷ λόγῳ πολλάκιϲ, ὡϲ πλούϲιόϲ ἐϲτιν Εὐξένιπποϲ, καὶ πάλιν διαλιπὼν ὡϲ οὐκ ἐκ δικαίου πολλὴν οὐϲίαν ϲυνείλεκται· ἃ εἰϲ μὲν τὸν ἀγῶνα τοῦτον οὐδὲν δήπου ἐϲτὶν εἴτε πολλὰ οὗτοϲ κέκτηται εἴτε ὀλίγα, τοῦ δὲ λέγοντοϲ κακοήθ(ε)ια καὶ ὑπόληψιϲ εἰϲ τοὺϲ δικαϲτὰϲ οὐ δικαία, ὡϲ ἄλλοθί που οὗτοι τὴν γνώμην ἂν ϲχοίηϲαν ἢ ἐπ' αὐτοῦ τοῦ πράγματοϲ καὶ πότε[ρον] ἀδικεῖ ὑμᾶϲ ὁ κριν[όμ]ενοϲ ἢ οὔ. Κακ[ῶϲ] μοι δοκεῖϲ εἰδ[έν]αι, ὦ Πολύευκτε, ...καιοιταυταγι ....ὅτι οὔτε πόλιϲ ἐ]ϲτὶν οὐδ[εμία] ἐ[ν] τῇ οἰκου- |

XLIII μένῃ οὔτε μόναρχοϲ οὔτε ἔθνοϲ μεγαλοψυχότερον τοῦ δήμου τοῦ Ἀθηναίων, — τοὺϲ δὲ ϲυκοφαντουμένουϲ τῶν πολιτῶν ὑπό τινων ἢ καθ' ἕνα ἢ ἄθρουϲ οὐ προΐεται ἀλλὰ βοη-

---

25 τω A. — 26 οϲω|ου A a pr. m. habuit; sed alterum ο in υ correctum est.

Col. XLII. 3 τωλογω A. — 7 pro εκ antea εδ scriptum fuit. — 8 ϲυνιλεκται A pr. — 20 Verba καὶ — οὔ cum antecedentibus cohaerere primi intellexerunt Cb. K.. — 23 κακῶϲ ἐμοὶ Cb. Cp.; κακῶϲ δ' ἐμοὶ K. C., quod spatium excedere videtur. — 25 sqq. lectio incertissima ideoque locus inter desperatos habendus est. V. 25 Bb. ἀ[λλ' οἱ δί]καιοι; id. ap. JBL. ἀ[λλ' οἱ βάρ]βαροι. V. 26 ου certum est, atque etiam οτι diserte in A legi Bb. affirmat; itaque ταυτα γι[νώϲκουϲι π]άντεϲ ὅτι restituit; at Sh.: ταῦτά γ' ἴ[ϲαϲι κά]λλιϲθ' ὅτι. Alii alia tentaverunt: Cb.: ....καίτοι ταῦτά γ' ἴϲαϲι πάντεϲ ὅτι οὔτε δῆμόϲ ἐϲτιν οὐδεὶϲ ἐν τῇ οἰκ. —; K.: καίτοι οἱ ταῦτα γινώϲκοντεϲ πλεῖϲτοι — ὅτι οὐδεμία πόλιϲ ἐϲτὶν οὐδαμοῦ ἐν τῇ οἰκ.; L. [ὥϲπερ] καὶ οἱ ταὐτὰ ἤ[δη ϲοι γνόν]τεϲ, ὅτι οὔτε [πόλιϲ] ἐϲτὶν οὐδ[εμία — (hoc cum JBL.); Cp.: ἅ[μα δὲ] καὶ οἱ ταὐτὰ π[οιήϲ]αντεϲ, ὅτι οὔτε δῆμόϲ ἐϲτιν οὐδεὶϲ —; denique MO.: καὶ ϲὺ καὶ οἱ ταὐτὰ γινώϲκοντεϲ πάντεϲ et deinde sicut K.

Col. XLIII. 1 οικου|μενη A. — 2 ουτεθεωνοϲ A pr.;

θεῖ. — καὶ πρῶτον μὲν Τίϲιδοϲ τοῦ Ἀγρυλῆθεν ἀπογράψαντοϲ τὴν Εὐθυκράτουϲ οὐϲίαν ὡϲ δημοϲίαν οὖϲαν, ἣ πλεόνων ἢ ἑξήκοντα ταλάντων ἦν, καὶ μετ' ἐκείνην πάλιν ὑπιϲχνουμένου τὴν Φιλίππ[ου] καὶ Ναυϲικλέουϲ ἀ[πο]γράψειν καὶ λέγο[ντ]οϲ ὡϲ ἐξ ἀναπογρ[άφ]ων μετάλλων π[επλ]ουτήκαϲι, τοϲο[ῦτον οὖ]τοι ἀπέλιπον [τοῦ πρ]οϲέϲθαι τινὰ τ[οιοῦτο]ν λόγον |
IV ἢ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥϲτε τὸν ἐγχειρήϲαντα ϲυκοφαντεῖν αὐτοὺϲ εὐθὺϲ ἠτίμωϲαν, τὸ πέμπτον μέροϲ τῶν ψήφων οὐ μεταδόντεϲ. — τοῦτο δ', εἰ βούλει, τὸ πρῴην ὑπὸ τῶν δικαϲτῶν πραχθὲν τοῦ ἐξελθόντοϲ μηνὸϲ πῶϲ οὐ μεγάλου ἐπαίνου ἄξιόν ἐϲτι; — φήναντοϲ γὰρ Λυϲάνδρου τὸ Ἐπικράτουϲ μέταλλον τοῦ Παλληνέωϲ ἐντὸϲ τῶν μ[έτ]ρων τετμημένον, ὃ εἰργάζετο μὲν ἤ[δ]η τρία ἔτη, μετεῖχον δ' αὐτοῦ οἱ πλουϲ[ιώ]τατοι ϲχεδόν τι τῶ[ν] ἐν τῇ πόλει, — ὁ δὲ Λ[ύϲα]νδροϲ ὑπιϲχνεῖτ[ο τρι]ακόϲια τάλαντα εἰϲ[πράξει]ν τῇ πόλει· τ[οϲαῦτα γ]ὰρ εἰληφέναι α[ὐτοὺϲ ἐ]κ |
τοῦ μετάλλου· — ἀλλ' ὅμωϲ οἱ δικαϲταὶ οὐ πρὸϲ τὰϲ τοῦ κατηγόρου ὑποϲχέϲειϲ ἀποβλέποντεϲ, ἀλλὰ πρὸϲ τὸ δίκαιον ἔγνωϲαν ἴδιον εἶναι τὸ μέταλλον, καὶ τῇ αὐτῇ ψήφῳ τάϲ τε οὐϲίαϲ αὐτῶν XLV

ουτεεθνοϲ A corr. — 19 υπιϲχο primum scriptum esse videtur; sed libr. statim O in N mutavit. — 26 τοῦ προϲέϲθαι Sp. JBL. L. C.; προϲέϲθαι contra spatium Sw. Cp. Ceterum A pr. ..οεϲθαι; Cb. προϲίεϲθαι, Patakis προϲήϲεϲθαι emendare volunt. — 27 τοιοῦτον (Bb. Sw. al.) melius spatium explet quam τούτων (Sp. JBL.).

Col. XLIV. 3 ενχειρ. A. Sw. — 5 ητιωϲαν A pr. — 8 προιην A pr. — 16 παλαηνεωϲ A. — 18 ηργάζετο A; εἰργάζετο Cb. JBL. Cp. — 20 ετηι A. — 24 υπειϲχνειτο A. — 25 εἰϲπράξειν Sw. — 27 αὐτοὺϲ Cb. Sw.[1] L. C.; Bb. αὐτόν.

Col. XLV. 5 αλα A pr. — 8 sq. αυτηψηφωι A. — 9 αυτω̅ A. —

ἐν ἀσφαλείᾳ κατέστησαν καὶ τὴν ὑπόλοιπον ἐργασίαν τοῦ μετάλλου ἐβεβαίωσαν. τοιγαροῦν αἱ καινοτομίαι πρότερον ἐκλελ(ε)ιμμέναι διὰ τὸν φόβον νῦν ἐνεργοὶ καὶ τῆς πόλεως αἱ πρόσοδοι αἱ ἐκεῖθεν πάλιν αὔξονται, ἃς ἐλυμήναντό τινε[ς τῶν ῥητόρων ἐξ[απατήσαντες τὸν δ[ῆμον καὶ δασμολ[ογήσαντες τοὺς εκ.... — ἔστι γάρ, ὦ ἄνδρ[ες δικασταί, οὐχ οὗτος [ἄριστος πολίτης, ὅ[στις |
XLVI μικρὰ δοὺς πλείω βλάπτει τὰ κοινά, οὐδ' ὅστις εἰς τὸ παραχρῆμα ἐξ ἀδίκου πορίσας κατέλυσε τῆς πόλεως τὴν ἐκ δικαίου πρόσοδον, ἀλλ' ὅτῳ μέλει καὶ τῶν εἰς τὸν ἔπειτα χρόνον ὠφελίμων τῇ πόλει καὶ τῆς ὁμονοίας τῶν πολιτῶν καὶ τῆς δόξης τῆς ὑμετέρας· ὧν ἔνιοι οὐ φροντίζουσιν, ἀλλὰ τῶν ἐργαζομένων ἀφαιρούμενοι πόρους φασὶ τούτους πορίζειν, ἀπορίαν ἐν τῇ πόλει παρασκευάζοντες· — ὅταν γὰρ *ᾖ φοβερὸν τὸ κτᾶσθαι καὶ φείδεσθαι, τίς βουλήσεται κινδυνεύειν; — Τούτους μὲν οὖν ἴσως οὐ ῥᾴδιόν ἐστι κωλῦσαι ταῦτα πράττειν, — ὑμεῖς δέ, ὦ ἄνδρες δικα- |
XLVII σταί, ὥσπερ καὶ ἄλλους πολλοὺς σεσώκατε τῶν πολιτῶν ἀδίκως εἰς ἀγῶνας καταστάντας, οὕτω καὶ Εὐξενίππῳ βοηθήσατε —

---

10 ασφαλεια A. ἀσφαλεῖ Cb. — 15 καινοτομίαι (αἱ) πρότ. ἐκλ. Cb., probantibus Sw.[1] JBL. Cp. — 17 ἐνεργοί (Sw.[1] al.) et spatio satisfacit et sensui, quare vestigia litterarum quae post οι conspiciuntur signi illius 7 esse cum Sw. et C. putanda sunt. Bb. ἐνεργοῦνται, quod spatium excedit; Cb. ἐνεργοί εἰσι siglo scriptum fuisse dicit. — 25 εκ litterae nisi diserte exstarent, reciperem quod Sw. proposuit, Cb. probavit, ἔχοντας. Ἐκεῖθεν JBL. Cp. L.; ἐκεῖ K., ἐκτημένους Sw. in schol., quorum neutrum cum spatio convenit. ἐκτενεῖς ci. C., ἐκλύτους L.[1]

Col. XLVI. 1 πλειωι A. — 9 ωφελιμω̄ A. — 15 εργαζομενω̄ A. — 18 τῇ πόλει remoto ἐν Bakius ap. Cb., quod probat K. — 20 ην A; corr. Bb.

Col. XLVII. 4 καθεσταντας A pr. —

καὶ μὴ περιίδητε αὐτὸν ἐπὶ πράγματι οὐδενὸϲ ἀξίῳ καὶ εἰϲαγγελίᾳ τοιαύτῃ, ἣ οὐ μόνον οὐκ ἔνοχόϲ ἐϲτιν, ἀλλὰ καὶ αὐτὴ παρὰ τοὺϲ νόμουϲ ἐϲτὶν εἰϲηγγελμένη καὶ πρὸϲ τούτοιϲ ὑπ' αὐτοῦ τοῦ κατηγόρου τρόπον τινὰ ἀπολελυμένη. — εἰϲήγγελκε γὰρ αὐτὸν Πολύευκτοϲ λέγειν μὴ τὰ ἄριϲτα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμβάνοντα καὶ δωρεὰϲ παρὰ τῶν τἀναντία πραττόντων τῷ δήμῳ τῷ Ἀθηναίων. εἰ μὲν οὖν ἔξωθεν τῆϲ |
VIII πόλεώϲ τιναϲ ᾐτιᾶτο εἶναι, παρ' ὧν τὰ δῶρα εἰληφότα Εὐξένιππον ϲυναγωνίζεϲθαι αὐτοῖϲ, ἣν ἂν αὐτῷ εἰπεῖν ὅτι, ἐπειδὴ ἐκείνουϲ οὐκ ἔϲτι τιμωρήϲαϲθαι, δεῖ τοὺϲ ἐνθάδε *αὐτοῖϲ ὑπηρετοῦνταϲ δίκην δοῦναι. — νῦν δὲ Ἀθηναίουϲ φηϲὶν εἶναι, παρ' ὧν τὰϲ δωρεὰϲ εἰληφέναι αὐτόν. — εἶτα ϲὺ ἔχων ἐν τῇ πόλει τοὺϲ ὑπεναντία πράττονταϲ τῷ δήμῳ οὐ τιμωρῇ ἀλλ' Εὐξενίππῳ πράγματα παρέχειϲ; — Βραχὺ δ' ἔτι εἰπὼν περὶ τῆϲ ψήφου ἧϲ ὑμεῖϲ μέλλετε φέρειν καταβήϲομαι. — ὅταν γὰρ μέλλητε, ὦ ἄνδρεϲ δικαϲταί, διαψηφίζεϲθαι, κελεύετε | ὑμῖν τὸν γ[ρ]αμματέα XLIX
ὑπαναγνῶναι τήν τε εἰϲαγγελίαν καὶ τὸν νόμον τὸν εἰϲαγγελτικὸν καὶ τὸν ὅρκον τὸν ἡλιαϲτικόν· καὶ τοὺϲ μὲν λόγουϲ ἁπάντων ἡμῶν ἀφέλετε, — ἐκ δὲ τῆϲ εἰϲαγγελίαϲ καὶ τῶν νόμων

---

7 Desideres participium aliquod; sed comparat Cb. Dem. c. Apatur. 12; Arist. Ach. 55. — 10 ειϲαγγελια A pr., ειϲαγγελιαι corr. — τοιαυτηιου A pr.; corr. HI supra versum cum spiritus signo addidit. — 20 sq. τω utrobique A.

Col. XLVIII. 1 ητιατο A. — 5 ηεν A pr. — 9 αυτουϲ A; αὐτοῖϲ Bb. Sw. (qui tamen dubitat an αὐτοῦ verius sit) Cb. L.; C. codicis lectionem defendit. — 18 δημω A. — τειμωρη A.; τιμωρεῖ Cb. — 19 ευξενιππω A. — 21 βραχὺ δέ τι Bb. JBL.; βρ. δ' ἔτι Cb. Sw.[1] L. C. Cp.

ϲκεψάμενοι ὅ τι ἂν ὑμῖν δοκῇ δίκαιον καὶ εὔορκον εἶναι, τοῦτο ψηφίϲαϲθε. — Ἐγὼ μὲν οὖν ϲοί, Εὐξένιππε, βεβοήθηκα ὅϲα εἶχον. λοιπὸν δ' ἐϲτὶ δεῖϲθα[ι] τῶν δικαϲτῶν καὶ τοὺϲ φίλουϲ παρακαλεῖν καὶ τὰ παιδία ἀναβιβάζεϲθαι.

Ὑπὲρ Εὐξενίππου εἰϲαγγελίαϲ ἀπολογία πρὸϲ Πολύευκτον.

Col. XLIX. 12 δοκη A. — 14 τουτοτοψηφιϲαϲθαι A pr. — 18 δειϲθαι exstare in A. Bb. ap. Sw.[1] testatur. — 21 ταπαιδια A corr.; a pr. m., ut Bb. in add. et Sw. putant, ταδικαια fuit, sed omnia diligentissime inducta sunt.

IV.

[ЄΠΙΤΑΦΙΟϹ.]

Pap. bartianus.

I Τῶν μὲν λόγων τ[ῶν μελ-
λ]όντων ῥηθήϲεϲ[θαι ἐπὶ
τῷδε τῷ τάφῳ [περί τε
Λεωϲθένουϲ τοῦ ϲτ[ρατη-
γοῦ καὶ περὶ τῶν ἄ[λλων
τῶν μετ' ἐκείνου [τετε-
λ]ευτηκότων ἐν τ[ῷ πο-
λέμῳ, ὡϲ ἦϲαν ἄν[δρεϲ
ἀ]γαθοί, μα..........
..ρονοϲοι..........
..ῳ τὰϲ π..........
..ϲ ἀνθρω[π..........
..ονπωκα..........
..ϱγακε[[ν]]ω..........
ἐν]αντίαι ω..........
γ]εγεννη..........
ἄνδραϲ..........
τετελευ[τηκ..........
οὔτε πρ..........
.οτ..........
(desunt vers. —) |

(desunt vers. —) II
....επει........
καὶ μάλιϲτα [φοβοῦ-
μαι, μή μοι ϲυμ[βῇ τὸν
λ]όγον ἐλάττ[ω φαί-

Inscriptio in papyro nusquam legitur.

Col. I. Neque a dextra neque a sinistra parte margo usquam servatus est; consentiunt tamen nunc paene omnes in principio versuum nonnisi unam duasve litteras deesse. — 1 περὶ] τῶν μὲν Bb.; Τῶν μὲν Cb. S. Sp. Bb[1]. — 3 ταφω.. A[1]. — περὶ] Λ. Bb.; περί τε Cb. S. — 9 μά[ρτυρεϲ Cb., qui etiam sequentia restituere conatur (p. 23): ὁ χρ]όνοϲ ὁ ϲ[ύμπαϲ — — οὐδὲν ἔργ]ον πω κά[λλειον ἑ]όρακεν. — 11 ταοπ[λα Cp. — 14 Ν in A[1] transfixum est, unde Bb. ἔργα καὶ ω.... — 16 γ]εγεννη[μέν... solemnis error librarii esse videtur; cf. II, 6.

Col. II. Possis continuationem eiusdem columnae putare: efficientur, si componas, versus XXXV, maior sane numerus eo quem in col. III et IV reperimus; sed spatii nihilo plus hi XXXV vs. occupant quam illi XXXIII. — 2 δ] καὶ S. — φοβοῦμαι Bb. — 4 ἐλλαττω A[1]. — γενεϲθαι

ν]εcθαι τῶν ἔρ[γων τῶν γεγενη[μένων. πλὴν κατ' [ἐκεῖνό γε πάλι(ν) θα[ρρῶ, ὅτι τὰ ὑπ' ἐμοῦ κ[αταλειπόμενα *ὑμεῖc οἱ [ἀκούοντεc πρ[ο]cθήcετε· οὐ γὰρ ἐ(ν) τοῖc τυχοῦcιν οἱ λόγοι ῥηθήcονται, ἀλλ' ἐν αὐτοῖc τοῖ(c) μάρτυcι τῶν (ἐκ)είνοι[c |

III π]επραγμένων. Ἄξιον δέ ἐc]τιν ἐπαινεῖν (τ)ὴν μὲν πόλ]ιν ἡμῶν (τ)ῆc προαιρέcεω]c ἕνεκεν, τὸ προελέcθ]αι ὅμοια καὶ ἔτι cεμνό]τερα καὶ καλλίω *τῶν πρότ]ερον αὐτῇ πεπραγμέ]νων, τοὺc δὲ τετελευ]τηκόταc τῆc ἀνδρεία]ς τῆc ἐν τῷ πολέμῳ, τὸ μὴ καταιcχῦναι τὰc τῶν προγόνων ἀρετάc· τὸν δὲ cτρατηγὸν Λεωcθένη διὰ ἀμφότερα· τῆc τε γὰρ προαιρέcεωc εἰcηγητὴc τῇ πόλ(ε)ι ἐγένετο καὶ τῆc cτρατείαc ἡγεμὼν τοῖc πολίταιc κατέcτη. — Περὶ μὲν οὖν τ]ῆc πόλεωc διεξιέναι τ]ὸ καθ' ἕκαcτον ⟦τ⟧ῶν πρότε]ρον (εὐηργέτηκεν) πᾶcαν τὴν Ἑλλάδα] οὔτε ὁ χρόνοc ὁ παρὼ]ν ἱκανόc, οὔτε ὁ καιρὸc] ἁρμόττων τῷ μακρ]ολογεῖν, οὔτε ῥᾴδιον] ἕνα ὄντα τοcαύταc] καὶ τηλικαύταc πράξειc] *ἐπελθεῖν καὶ μνη-

---

Bb.; φαίνεcθαι K. Cb. S. — 6 γεγεννη[μενων A^1. — 7 κατ' ἐκεῖνό γε πάλιν Sp. Cb. S. — 9 κ[αταλει]πόμενα Bb.; παραλειπόμενα S. invito codice. — 10 υμειν A. — 14 αυτο^{c}ι A^1. — 15 μαρτυcιτν A^1 pr.; Ν in Ω correctum est. Deinde νειvoï, quae puncta cum S. reliquias C litterae supra scriptae putare possis. Itaque ἐκείνοιc S. Sp. C. $Bb.^1$; ἐκεῖ Bb.

Exstat etiam aliud nescio an harum columnarum fragmentum: αλλο | πολλ | εν.

Col. III. 1 δ' ἐ|c]τὶν K. Cb.; δέ ἐcτιν S. — 4 τοῦ pro τὸ V. — 6 in fine π^{v}ω A^1. — 11 V. τοῦ μή. — in fine τ^{c}α A^1. — 18 πολειταιc A^1. — 21 .οκατ A^1 pr. sec. Sch., .οκαθ corr. — 22 ρων A^1 pr. — post πρότ. Bb. πεπραγμένων κατὰ addit; similiter Cb.: ἀνὰ πᾶcαν τ. Ἑ. πεπραγμένων. K.: πρότ., οἷc cώζουcα διετέλει πᾶcαν τ. Ἑ.; Cp. τῶν πρότ. διαcωcάντων π. τ. Ἑ.; S.: ἃ καθ' ἕκ. τῶν πρ. π. τ. Ἑ. εὐηργέτηκεν, quod rec. T, nisi quod pro ἃ ὃ scripsit, secutus Bb. in postscr. — 25 τω A^1. — 28 τηλικαυτ.c A^1 pr., supra scripto α. — 29 απελ-

μο]νεῦϲαι. ἐπὶ κεφαλαί-
ων δ'] οὐκ *ὀκνήϲω εἰπεῖν
περ]ὶ αὐτῆϲ· — ὥϲπερ
γὰρ] ὁ ἥλιοϲ πᾶϲαν [[πᾶ-
ϲαν]] |
V τὴν οἰκου[μένην] ἐπέρ-
χεται, — τὰ[ϲ μὲν] ὥραϲ δι-
ακρίνων [εἰϲ τὸ π]ρέπον
καὶ καλῶ[ϲ πάντα καθι]ϲτάϲ,
τοῖϲ δὲ............ει
ικεϲθ...........ων
ἐπιμ[ελούμενοϲ κα]ὶ γε-
νομένοιϲ]......ϲ καὶ
....ϛ κα[ὶ τῶν ἄ]λλων
ἁπά]ντων τῶν [εἰ]ϲ τὸν

β[ίο]ν χρηϲίμων· — οὕτωϲ
κα[ὶ] ἡ πόλιϲ ἡμῶν διατε-
λε[ῖ τοὺϲ] μὲν κακοὺ(ϲ) κο-
λά-
ζο[υϲα, τοὺϲ] δὲ δικαίο(υ)ϲ
........., τὸ δὲ ἴϲον ἀν-
τὶ τῆϲ πλεονε]ξίαϲ ἅπαϲιν
φυλάττουϲα, τ]οῖϲ δὲ ἰδι-
οιϲ κινδύνοιϲ κα]ὶ δαπά-
ναι[ϲ κοινὴν ἄδει]αν τοῖϲ
Ἕλλη[ϲιν παραϲκευάζου-
ϲα. — [ἀλλὰ περὶ μὲ]ν τῶν
κοινῶ[ν]...........εωϲ
ὥϲπερ [προεῖπον κ]ατα-
λ(ε)ί-

θειν A¹; ἐπελθεῖν Bb.; διελθεῖν S. — 30 sq. κεφαλαί[ου] Bb.; κεφαλαί[ων] Cb. S. — δὲ] Bb., δ'] S. — ωκνηϲω A¹. — 33 ὀλιοϲ (η supra) A¹.

Col. IV. — 3 [ἀεὶ κατὰ τὸ π]ρέπον Bb.; κατὰ τρόπον Cb.; καὶ εἰϲ τὸ πρέπον S. — 4 καὶ καλο[ὺϲ καιροὺϲ καθι]ϲτάϲ Bb.; καὶ καλῶ[ϲ πάντα καθ. Cb.; καὶ καλὸν πάντα καθ. S. Ductus ambiguus in A¹ vel O vel Ω indicare potest. Ceterum ρεπο (ν supra) et ϲτα (ϲ supra) A¹. — 5 τοιϲδεϲ A¹ sec. Sch. — 6 ικεϲτ Bb., ικεϲιτ Cp.; ικεοιτ T. forsitan ἵκεϲθ. — 7 (α)ιγε Bb. — 8 εκαι T. Cp. — 9 ονα Bb. K.; ον S., unde hic: καὶ [ἀφθ]ον[ίαν τῶν ἄλ]λων. — πά]10 ντων Bb.; ἁπά]ντων rectius Cb. S. — 13 κολ (α supra) A¹. — 14 δικαιοϲ A¹ sec. Bb.; δικαιομ legit K., δικαιον T. — 15 προτιμῶϲα Bb., τιμῶϲα Cb. Bb¹. — 16 ἀνθρώποιϲ καὶ ἀ]ξίαϲ ἅπαϲιν [εὐεργεϲίαϲ] οἷϲ δεῖ δια[νέμουϲα Bb.; ἀμοιβὰϲ pro εὐεργ. Cb. Bb¹. — 17 sqq. cf. Lyc. § 104. — 19 δαπάναϲ [τὰϲ καθ' ἡμέρ]αν Bb. (δ. [εἰϲ τὴν ἐλευθερί]αν F.); sed δαπαναι A¹ sec. K. T. — 20 παραϲκευ]άζουϲα Bb. — 21 περὶ μὲν οὖ]ν τ. Bb. ἐπεὶ δὲ περὶ τῶν K¹. ἕκαϲτον μὲν οὖν M. ceteri Bb. secuti sunt. — 22 εω (ϲ supra) A¹. τῶν κοινῶν ἔργων τῆϲ πόλεωϲ Bb. K. M. πράξεων pro ἔργων F. Cp. κοινῶν τῶν τῆϲ πόλ. S. T. κοινῶν τὸν λόγον ταχέωϲ C. — 23 ὥϲπερ [ἐν βραχεῖ εἴρητ]αι †αλιφω Bb. ὥϲπερ [εἶπον φρά]ϲαι χαλεπόν K. ὥ. [χρὴ δηλῶ]ϲαι (δοκῶ vel simile aliquid) S. Cp¹. T., qui ἐλπίζω pro δοκῶ ponit. ὥ. εἰκὸϲ φρά]ϲαι παραλείψω M. ὥ. [εἶπον,

* ψω, πε[ρὶ δὲ Λεωcθέν]ουc καὶ
τῶν ἄ[λλων τοὺc λόγ]ουc ποι-
ήcομ[αι. — ἀπορ]ῶ δὲ πόθεν
ἄρξωμα[ι λέγων] ἢ τίνοc
πρῶτον μνηcθῶ. — πότε-
ρα περ[ὶ] τοῦ γένουc αὐτῶν
*ἑκάcτου διεξέλθω; ἀλλ' εὔ-
ηθεc εἶναι ὑπολαμβάνω·
τὸ(ν) μὲν (γὰρ) ἄλλουc *τινὰc ἀν-
θρώπουc ἐγκωμιάζοντα, |
V οἳ πολλαχόθεν εἰc μίαν
πόλιν ⟦cυν⟧ cυνεληλυθότεc
οἰκοῦcι γένοc ἴδιον ἕκαc-
τοc cυνειcενεγκάμενοc,
τούτων μὲν δεῖ κατ' [ἄ]νδρα
γενεαλογεῖν — ἕκαcτον·
περὶ δὲ Ἀθηναίων ἀνδρῶν
τού(c) λόγου(c) ποιούμενον, οἷc
ἡ κοινὴ γένεcιc α[ὐτόχ]θοcιν
οὖcιν ἀνυπέρβλητ[ον] τὴν
εὐγένειαν ἔχει, πε[ρ]ίεργον
ἡγοῦμαι εἶναι ἰδίᾳ [τὰ] γένη
ἐγκωμιάζειν. — ἀλλὰ [πε]ρὶ τῆc
παιδείαc αὐτῶν ἐπι[μνη]cθῶ,
καὶ ὡc ἐν πολλῇ c[ωφρο-
cύνῃ παῖδεc ὄντ[εc ἐτρά-
φηcαν, καὶ *ἐπαιδ[εύθηcαν
*ἅπερ εἰώθαcι ν[έουc παιδεύ-

ἐάcω] καὶ.... Cp. ὧ. προείρηται καταλείψω C. — και vel cαι (hoc Sch.) in A[1] fuisse videtur; pro αλι sunt qui legant αμ. — 24 φω A[1]. — περὶ δὲ Λεωcθένουc Bb.; περὶ Λ. K. Cb. — 25 τῶν ἄλλων ἤδη τοὺc λόγουc Bb.; om. ἤδη S. — 26 ποιηcόμενοc ἐνθά]δε S.; ποιήcομαι. νῦ]ν δὲ Bb.; ποιήcομαι. ἀπορ]ῶ δὲ Cb. Sp. JBL. In A[1] (cf. Sch.) dimidia pars litterae Ω servata est, minus rotunde tamen exarata. ποθε^{ν} A[1]. — 27 ἐπαινῶν Bb.; αὐτῶν K.; λέγειν Cb. Bb[1]; λέγων S. C. — 28 πρώτου corrigit Cb. — 30 εκαcτω ut videtur A[1]. — 31 ηθεc^{ε}ιναι A[1]. — 32 τὸν μὲν γὰρ Sch. ap. Bb. S.; τὸ μὲν Cp. C.; cf. V, 5. τινουc A[1], sed O et Y transfixa.

Col. V. 3 ἴδιον A[1]. — 5 τουτων A[1]; τοῦτον Cb. S. — δὴ pro δεῖ C. Cp. — αντρα A[1] pr. — 8 ποιούμενοc corr. Cb. probante S. p. 56. — 12 ιδια.. A[1]. — 17 επεδ.... A[1]; emend. Bb. (ἐπεδείξαντο C.) — 18 οπερ A[1]. — εἰώθαcι ν[έουc παιδεύ]ειν Bb. εἰώθαcιν παιδεύειν S. οἱ ἄλλοι ποιεῖν Lightf. ap. Bb. in postscr. ἀπὸ νέων ποιεῖν C. οἱ ἄλλοι ἐπαινεῖν

ειν; — ἀλλ' οἶμαι π[άνταϲ ὑμᾶϲ
εἰδέναι ὅτι τούτο[υ ἕνεκα δεῖ
τοὺϲ παῖδαϲ παιδευθ[ῆναι,
ἵνα ἄνδρεϲ ἀγαθοὶ γ[ένων-
ται· τοὺϲ δὲ γεγενη[μένουϲ
ἐν τῷ πολέμῳ ἄνδρ[αϲ οὕ-τωϲ
ὑπερβάλλονταϲ τῇ ἀ[ρετῇ,
πρόδηλόν ἐϲτιν ὅτι πα[ῖδεϲ
ὄντεϲ καλῶϲ ἐπαιδεύ[θη-
ϲαν. — ἁπλούϲτατον ο[ὖν ἡ-
γοῦμαι εἶναι τὴν ἐν τ[ῷ
πολέμῳ διεξελθεῖν ἀ-
ρετὴν καὶ ὡϲ πολλῶν ἀ-
γαθῶν αἴτιοι γεγένη(ν)ται
τῇ *πατρίδι καὶ τοῖϲ ἄλλοιϲ Ἕλ-
ληϲιν. — ἄρξομαι δὲ πρῶ-τον ἀ-
πὸ τοῦ ϲτρατηγοῦ. καὶ γὰρ δίκαι-
ον. Λεωϲθένηϲ γὰρ ὁρῶν
τὴν Ἑλλάδα πᾶ[ϲ]αν τετα-πει-
νωμένην καὶ [. . . κατ]ε-πτη- |
χυ]ῖαν, κατεφθαρμένην ὑπὸ VI
τῶν] *δωροδοκούντων πα-ρὰ Φι-
λίπ]που καὶ Ἀλεξάνδρου κατὰ
τῶν] πατρίδων τῶν αὐτῶν,
καὶ τ]ὴν μὲν πόλιν ἡμῶν
δεομέ]νην ἀνδρόϲ, τὴν δ' *Ἑλλά-
δα πᾶ]ϲαν πόλεωϲ, ἥτιϲ προϲτῆν-
αι δυ]νήϲεται τῆϲ ἡγεμο-νίαϲ,
ἐπέδ]ωκεν *ἑαυτὸν μὲν τῇ
πατρί]δι, τὴν δὲ πόλιν τοῖϲ Ἕλλη-
ϲιν ε]ἰϲ τὴν ἐλευθερίαν· καὶ ξε-

F. Cp. ἄνδρεϲ ἀϲκεῖν T. (sed αϲκ—ειν ne huic quidem librario iure imputaveris). — 19 [πάνταϲ] Bb.; πάνταϲ ὑμᾶϲ Cb. — 21 παιδευθ vel παιδευο A[1]; unde τούτου ἕν. δεῖ τ. π. παιδευθῆναι Bb.; τ. ἕν. τ. π. παιδεύομεν S. M. Bb[1]; — δεῖ — παιδεύε[ϲθαι F. — 22 γ[ένων]ται Bb.; γ[ίνων]ται S. — 23 γεγεννη[μενουϲ A[1]. — 24 ἄνδρ[αϲ C. K. Cp. Cb. — οὕτωϲ om. omnes. — 28 ἁπλ. δ[ὲ Bb.; ἁ. δὴ K.; sed littera fuit potius O, unde ο[ὖν Cb. S. Bb[1]. — 33 πατριτι A[1]. — 38 τεταπ. καὶ [τὴν] εὐη|μερ]ίαν Bb.; sed ΕΠΤΗ diserte scriptum est. τ. καὶ [τὴν δόξα]ν τὴν | παλα]ιὰν Cb. nimis audacter. καὶ κατεπτηχυῖαν Classen ap. K. S. Bb[1], egregie nisi quod spatio non sufficit; itaque puncta addidi.

Col. VI. 2 δωροδονουντων A[1]. — 6 ολλα[δα A[1]. — 8 δυνήϲεται Sch. Bb[1]. — 9 . . . . ωκενμενεναυτον A[1]. ἀπέδωκεν ἑαυτὸν μὲν Bb.; ἐπέδωκεν μὲν ἑαυτὸν K.; ἐπέδ. ἑ. μὲν

νικὴν μὲν δύναμιν (cυ)cτηcάμενος, τῆc δὲ πολιτικῆc ἡγεμὼν καταcτάc, τοὺc πρώτουc ἀντιταξαμένουc τῇ τῶν Ἑλλήνων ἐλευθερίᾳ Βοιωτοὺc καὶ Μακεδόναc καὶ Εὐβοέαc καὶ τοὺc ἄλλουc cυμμάχουc αὐτῶν ἐνίκηcε μαχόμενοc ἐν τῇ Βοιωτίᾳ. ἐντεῦθεν δ' ἐλθὼν εἰc Πύλαc καὶ κατα⟦λα⟧λαβὼν τὰc παρ]όδουc, δι' ὧν καὶ πρότερον ἐπὶ τ]οὺc Ἕλληναc οἱ βάρβαροι ἐπο]ρεύθηcαν, τῆc μὲν ἐπὶ τὴν] Ἑλλάδα πορείαc Ἀντίπ]ατρον ἐκώλυcεν, αὐτὸν δὲ κα]ταλαβὼν ἐν τοῖc τόποιc τούτοι]c καὶ μάχῃ νικήcαc ἐπολιόρ]κει κατακλείcαc εἰc Λαμίαν· Θε]τταλοὺc δὲ καὶ Φωκέαc καὶ Αἰ]τωλοὺc καὶ τοὺc ἄλλουc ἅπανταc τοὺc ἐν τῷ τόπῳ cυμμάχουc ἐποιήcατο, καὶ ὧν Φίλιπποc καὶ Ἀλέξανδροc ἀκόντων ἡγούμενοι ἐcεμνύνοντο, τούτων Λεωcθένηc ἑκόντων τὴν ἡγεμονίαν ἔλαβεν. cυνέβη δ' αὐτῷ τῶν μὲν πραγμάτων ὧν προε[ί]λετο κρατῆcαι, | VII τῆc δ' εἱ[μαρ]μένηc * οὐκ ἦν περιγενέ[cθαι.] — δίκαιον δ' ἐcτὶν μὴ μ[όνον] ὧν ἔπραξεν Λεωcθέν[ηc τὴν] χάριν ἔχειν αὐτῷ π[ᾶcαν, ἀ]λλὰ καὶ τῆc ὕcτερον [γενομέν]ηc μάχηc

---

S. Cb. — 12 cυcτηcάμενοc Bb.; κτηcάμ. K. — 13 πολ$\overset{\epsilon}{\iota}$τικηc A[1]. — 14 πρωτου|cαντ. A[1]. — 18 Εὐβοᾶc corr. Cb. probante S. p. 58. — 20 μαχόμενοc A[1] corr. sec. Sch., Cb., S.; μαχομένουc A[1] pr. — 23 εἰc]όδουc Bb.; παρόδουc Sp. probante S. l. c.

P litterae vestigium agnoscit Sch. — 33 cυμμαχο$\overset{c}{\upsilon}$ A[1]. — 34 φιλιπποc —— A[1]. — 36 εcεμνυοντο A[1] pr. — τουτωνλε —— A[1]. — 38 cυν.βη A pr.; Ε supra vers. additum.

Col. VII 1 ουγην A[1]. — 4 Λεωcθ. αὐτὸc Bb.; Λ. τότε Sh. ap. Bb.; Λ. ἔτι ζῶν K. parum spatii ratione habita. τούτων ὑμῖν ἕξω τὴν χάριν Lys. 24, 27. — 5 πολλήν Bb.; πλείcτην Classen ap. K. — 6 γενομένηc Bb.; γεγενημένηc S.

